Aratou Soleōs Phainomena kai Diosēmeia / Theōnos scholia ; Erastosthenoys Catasterismoi ... accesserunt annotationes in Eratosthenem et hymnos Dionysii.

Aratus, Solensis.

Oxonii : E. Theatro Sheldoniano, 1672.

http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j

HathiTrust


www.hathitrust.org

Public Domain

http://www.hathitrust.org/access_use#pd

This work is in the Public Domain, meaning that it is not subject to copyright. Users are free to copy, use, and redistribute the work in part or in whole. It is possible that current copyright holders, heirs or the estate of the authors of individual portions of the work, such as illustrations or photographs, assert copyrights over these portions. Depending on the nature of subsequent use that is made, additional rights may need to be obtained independently of anything we can address.

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd


Digitized by
INTERNET ARCHIVE
Original from
DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

PERKINS LIBRARY

Duke University

Rare Books

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd


Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

0=3=6

J Wymd.

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY




Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd


Digitized by
INTERNET ARCHIVE

Original from
DUKE UNIVERSITY



Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd


Digitized by the Internet Archive
in 2011 with funding from
Duke University Libraries

http://www.archive.org/details/aratousolesphain00arat

Digitized by
INTERNET ARCHIVE

Original from
DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

ΑΡΑΤΟΥ ΣΟΛΕΩΣ

Φαινόμενα καὶ Διοσημεῖα.

ΘΕΩΝΟΣ Σχόλια.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ

Καταστερισμοί.

Μέτρον τῆς γῆς παλαιφερείας.

Τοῦ κύκλου διπλασιασμός.

Κόσκινον.

Τοῦ Νείλου πηγαί.

Τοῦ κανόνος τομή.

ΔΙΟΝΥΣΙΟΥ Υμνοι.

ACCESSERUNT

Annotationes in Eratosthenem

ET

Hymnos Dionysii.

OXONII.

E Theatro *SHELDONIANO.*

Anno Dom. CIↃDCLXXII.

Digitized by INTERNET ARCHIVE

Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Th. R.
881.4
A663P

505501

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

RBR
A6631

LECTORI

Præfatio.

REm *ſupervacuam agerem, ſi* Aratum Antigoni *Regis amicitiâ clarum, quadraginta circiter Græcorum Interpretum ſcholiis auctum; Romanorum etiam, inter quos* Germanicus Cæſar, *& in literarum imperio æmulus* Cicero, *(ut* Ovidium *&* Avienum *mittam) diligentiſſimis curis* Latio *donatum: inſuper, quod decus omne ſupergreditur, beati Apoſtoli* Pauli *ſcriptis receptum & conſecratum, longo verborum apparatu commendatum iverim. Oculis ille & mente pariter deſtituatur neceſſe eſt, quem cælorum convexa, orbium motus, & ſtellarum flammæ non attollunt unà, rapiunt ſecum, & ſuis quaſi ignibus accendunt: quin & hebes ſtupiduſque jure audiat, qui non pro merito æſtimet viri illius operam, quiſquis ea in cenſum & rationes deſcripta, felicibus inſuper carminum numeris fideliter ſubjecerit, cæliſque, quos intelligere, & quibus frui datur, concentus donaverit.*

Aratum *fateor plagii inſimulare* Hipparchum *alioſque, quaſi* Eudoxi ἔνοπτρον *ita inſpexiſſet, ut ceu alterum ſpeculum id unicè repræſentaret, nec cælorum adeo, quam* Gnidii *Geometræ Phæ-*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

nomena descripsisset. Sed lapides ad Vatis nostri tumulum allisi (quod miraculi loco refert Pomponius Mela*) dissiliunt protenus; & frustra oblatrante invidiâ, parem ille cum argumento quod tractat sortitur æternitatem. Dum enarrat astra, se illis inserit, & ratum usque manet* Nasonis *effatum quòd,*

Cum sole & lunâ semper Aratus *erit.*

In Poematis istius Editione, post Stephani, Grotii, *aliorumque doctissimorum hominum operas, nil magni momenti deinceps expectandum; id quidem egimus, ut saltem integrum & emaculatum prodiret, quod adhibitis duobus codicibus manuscriptis, quos Bibliotheca* Bodleiana *suppeditaverat, procuravimus.* Theonem *quod attinet, quem comitem adjunximus; omnino fatendum est exemplarium Mss. ope destitutos, impressis adhæsisse; nisi quando (quod passim accidit) sphalmata quædam plusquam graphica occurrerent, quibus ex conjecturis subveniendum. Neque quidem boni editoris munus esse duco, erroribus insistere, & sedulo eosdem propagare. Enimvero quanquam alibi minus ferenda sit importuna Criticorum licentia, adversus Scholiasten & Grammaticum incivile haud fuerit censoriam virgulam aliquando intentasse. Utcunque fuerit, rem ipsam semel moneo; ut si non institutum, certè fidem nostram (quam integram maximè cupimus) tueamur.*

Istis

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Istis ergo qualia qualia sint, boni consulat eruditus lector, præsertim quando ut eum cumulatius demererer, Eratosthenis καταστερισμὸς *per plura secula frustra requisitos, alieno habitu, nimirum* Germanici Cæsaris & Julii Hygini *interpolatis versionibus sordidatos, Græciæ juxta & sibi, quin & literato insuper orbi tandem aliquando restituerim; mantissæ loco additis, quatenus reperire erat, quæ undiquaque sparsæ jacuêre, magni Herois reliquiis.*

Quin & meliora deinceps polliceri liceat; quanquam enim sacris & humanioribus literis promovendis sese addixerit Sheldonianum *prælum, in Matheſi adornandâ minime cessabit; sed propitio Numine, & faventibus bonis, antiquos quotquot supersunt Græcos Scriptores, qui in matheſi inclaruerunt, in lucem producet: excussis subinde Arabum Gazis, & Neotericorum ubi ratio postulat scriniis, quod opus viginti plus minus voluminibus absolvendum censemus. Utrum inter sobriorum hominum consilia, aut febricitantium insomnia ista sint ponenda, penes alios steterit: id prorsus exploratum, ex Jovis, non plebei alicujus homuncionis capite* Palladem *prodire, nec sinè magnis Auspiciis grande aliquod geri unquam posse. Principes Viri, quod ipsis in promptu, tutelam opemque suam præstent; nostrum erit ut studium operamque, quæ sola possumus, impigrè accommodemus: & postquam*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

quam vitam Illi literis dederint, nos non indignas referentes vices, æternitatem denuo Iisdem elargiamur.

ΑΡΑΤΟΥ

Βίος.

Ἄρατος πατρὸς μὲν ἦν Ἀθηνοδώρου, μητρὸς δὲ Λημοδώρας (ὡς ἄλλοι Λητοφίλας) ἐκ Σόλων τῆς Κιλικίας. ὠνόμασται δὲ ἡ πόλις ἀπὸ Σόλωνος τοῦ Λινδίου· ἔστι δὲ ἡ νῦν Πομπηϊόπολις. ἦν δὲ ὅτε Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἐσχόλασε Διονυσίῳ τῷ Ἡρακλεώτῃ. συνῆν δὲ Ἀντιγόνῳ τῷ Μακεδόνων βασιλεῖ, καὶ Φίλᾳ τῇ τούτου γαμετῇ. συνήκμασε δὲ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ καὶ Καλλιμάχῳ, καὶ Μενάνδρῳ καὶ Φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε τρεῖς, Μύρων, Καλώνδαν, καὶ Ἀθηνόδωρον, ὃς πρῶτος ἀντεισῆλθε λέγεται Ζωΐλῳ, τῷ κατὰ τῆς Ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ Ἄρατος Περσίῳ τῷ φιλοσόφῳ Ἀθήνησι, καὶ συνελθὼν αὖτις εἰς Μακεδονίαν μεταπεμφθέντι ὑπ' Ἀντιγόνου, καὶ παρελθὼν εἰς τὴν Ἀντιγόνου καὶ Φίλας γάμον, καὶ δυσθυμήσας, τὸ λοιπὸν τῆς χρόνου διέτριψεν ἐκεῖσε. ἦν δὲ ὁ Ἀντίγονος υἱὸς Δημητρίου τοῦ πολιορκητοῦ, καὶ παρέλαβε τὴν ἀρχὴν μετὰ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν Πτολεμαῖος ὁ Φιλάδελφος Αἰγύπτου ἐβασίλευσεν. ὥστε καὶ συλλεγόμενόν ἐστιν ὑπό τινων, ὡς ἦν κατὰ τὸν αὐτὸν χρόνον Νικοθήρᾳ τῷ Κολοφωνίῳ, τῷ τὰ Θηριακὰ γράψαντι.

λέγε-

Digitized by INTERNET ARCHIVE Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

λέγουσί τε προτεῖναι ἀλλήλοις, ὁ μὲν, Νικήδρῳ σκέψασθε τὰ φαινόμενα· ὁ δὲ, Ἀράτῳ τὰ θηριακά· τοῦτο δὲ καταφανῶς ἐστι ψεῦδος· ὁ μὲν γὰρ Νικήδρος δώδεκα ὅλαις ὀλυμπιάσι νεώτερος φαίνεται. ἔνιοι δέ φασι τὸν Αρατον Μνασέου πατρὸς γενόμενον, Αριστοθήρου δέ τινος μαθηματικοῦ διακοῦσαι. ἰατρὸν δὲ προηγουμένως καὶ ποιητὴν γενέσθαι ἐν τοῖς Αντιγόνου βασιλείοις. Γηραιῷ δὲ τῷ Κυρηναίῳ ἐπεβάλλετο, παρ' ὃ καὶ ἐπιγράμματος ἠξιώθη. σωμήκασε δὲ Νικήδρῳ μαθηματικῷ, καὶ Ἀπολλοφανεῖ Κολοφωνίῳ θεραπεύοντι ἅμα αὐτόν. ζηλωτὴν δέ φασι τοῦτον γενέσθαι Ομήρου· οἱ δὲ Ησιόδου μᾶλλον.

Επιγράμματα εἰς Αρατον.

Πτολεμαίου τοῦ Βασιλέως εἰς Αρατον.

ΠΑνθ' Ηγησιάναξ τε καὶ Ερμιππος τὰ καθ' αἰθρην
Τείρεα, καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
Βίβλοις ἐξηκατάθεντο, ἀποσκίμποι δ' ἀφάμαρτον
Αλλὰ τὸ λεπτολόγου σκῆπτρον Αρατος ἔχει.

Καλλιμάχου εἰς Αὐτόν.

Ησιόδου τὸ δ' ἄεισμα, καὶ ὁ πρόπολος τοῦ δοιοῦ
Εφατον· ἀλλ' ἐκνέω μὴ τὸ μελιχρότατον
Τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο· χαίρετε λεπταὶ
Ρήσεις, Αρήτου σύγγονοι ἀγρυπνίης.

Αντί-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αντίπατρος εἰς ἄστρον.

Γράμμα δ' δ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
Φοινίδι δίφαντας ἀστέρας ἐφράσατο·
Πλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἵσιν ἀναγκὴς
Ἀλλόμβου κύκλοις θεσμὸς ἐνδέδεται.
Αἰνείαδω ὃ κάμων ἔργον μέγα, καὶ Διὸς εἶναι
Δοῦπον, ὅτις ἔδυκ' ἄστρα φαεινότερα.

ΑΡΑΤΟΥ ΣΟΛΕΩΣ

ΦΑΙΝΟΜΕΝΑ.

ΕΚ Διὸς ἀρχώμεθα, ϗ ὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄρρητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί· μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες·
Τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι

ΕΚ Διός.) πάνυ πρεπόντως ὁ Ἄρατος τὴν τῶν ἄστρων διεξιέναι μέλλων φησὶν, τὸν πατέρα τούτων καὶ δημιουργὸν, Δία, ἐν προοιμίοις προσφωνεῖ. Δία δὲ νῦν τὸν δημιουργὸν ἀκουστέον. τὸ δὲ ἐκ Διὸς, ἀντὶ τοῦ, ἀπὸ τοῦ Διός. Πίνδαρος, Διὸς ἐκ προοιμίων. τὸ δὲ ἀρχώμεθα, μὴ τοῦ σ. ἔστι δὲ ἀρχαϊσμός. Ὁμηρος, Δόρπον ἑφοπλισόμεσθα. καὶ ἄλλως, εἰκότως τὴν τῶν φαινομένων ἀρχὴν ἀπὸ τοῦ Διὸς τε καὶ θεῶν ποιεῖται. ἔθος γὰρ δὴ τοῦτο τοῖς ἀρχαίοις, φιλοθέοις ὄντων ἐπεικῶς ἅπασιν, ἀπὸ θεῶν ἄρχεσθαι, ὡς καὶ πάντων ἀνθρώποις τῶν καλῶν αἰτίων. Ὁμηρος μὲν, Μοῦσαι νῦν ἄειδε θεαὶ, καὶ Ἄνδρα μοι ἔννεπε μοῦσα. καὶ Πλάτων δὲ ἐν νόμοις, Θεὸς ἢ τίς ἡμῖν ὦ ξένε, τὴν ἀρχὴν εἴληχε τῆς τῶν νόμων διαθέσεως; Θεὸς, ὦ ξένε, θεός. καὶ ἔτι ἀπὸ Διὸς ἄρχεται, ἐπειδὴ μέλλει μετεωρολογεῖν. βασιλεὺς δὲ τῶν ὅλων καὶ πατὴρ ὁ Ζεύς. ἐ προσήκει δὲ τὰ νεῶν τὴν ἀσίαν αἰτεῖσθαι τοῦ Διός. Τὸν ἐλέπτοτ' ἄνδρες.) μετέσθη ἐπὶ τὴν κατ' ἐπωνυμίαν Δίαν τὴν φυσικὴν, ὃς ἐστιν ἀήρ. καὶ γὰρ τὸν ἀέρα, Δία λέγουσιν. ἔστι γάρ ἐστι κατὰ τοὺς στωϊκοὺς, ὁ Ζεὺς πάντων εἰκών. ἔνιοι γοῦν φασι τὸν Πρωτέα τοῦτον εἶναι τὸν ἀέρα. αἰνίττεται γὰρ ὁ Ὁμηρος λέγων, Γίγνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον, Καὶ πῦρ· ἔστι γάρ ἐστι πηγὴ πάντων, καὶ ἐξ αὐτοῦ. ὁ δὲ λόγος, ὅτι ποτὲ τὸν Δία ἔφασαν ἄρρητον, καὶ ἀφανισμοῦ ἐῶμεν οἱ ἄνθρωποι, εἰκότως· οἱ γὰρ στωϊκοὶ ὑποτίθενται, μᾶλλον δὲ πάντες οἱ ὄργανα φωνῆς ἀφέντες, πεπληγμένου τούτου ἀέρος καλοῦσιν. ἐδέποτε γὰρ αὐτὸν ἄρρητον ἐῶμεν, ἀεὶ δὲ αὐτοῦ τὰς ῥήσεις ποιούμενοι. ἐδὲν γάρ ἐστιν ὃ μὴ πεπλήρωται ἀέρος. Ησίοδος, Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς, τὸν ἀέρα φησὶ καλῶν. Μεστὴ δὲ.) τοῦτο συνδεκτικὸν ἐστι τῆς οὐσίας, οὗ ἦν ἡ ζωὴ τε ἡμῶν καὶ ἡ σύζωσία ἁπάντων. τοτὲ μὲν τὰ δύο ὀνόματα συντεθέντα δηλοῖ, τό, τε τοῦ Διὸς, καὶ τὸ τοῦ Ζηνός. Τοῦ γὰρ καὶ γένος ἐσμέν.) φησὶ τὸ πατὴρ ἀνδρῶν τε θεῶντε.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

εἰ γὰρ αὐτὸς ταῦτα ἐδημιούργησε τὸν γὰρ ἐπισπώμενοι, ὡς ἐξ αὐτοῦ ὠφθη τὸ τοῖς ἀνθρώποις βιωφελές, ζῶμεν, ὄντως ζωτικοῦ, καὶ τῆς αὐτοῦ ἂν κληθείημεν, αὐτὸν πα- πνοῆς ἡμῶν αἴτιον. Ὁ δὲ ἅπτω.) τέρα καὶ δημιουργὸν ἐπιχαρόμενοι. ἄγαν ἁρμοδίως τὸ ἐπίθετον τῷ δυνατὸν δὲ καὶ ἐπὶ τοῦ ἀέρος· αὐ- πατρὶ τὸ ἅπτω ἀπέδωκε.

Δεξιὰ σημαίνει· λαοὶ δ' ὅτε ἔργα ἐγείρει,
Μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίσῃ
Βουσί τε καὶ μακέλῃσι· λέγει δ' ὅτε δεξιὰ ὥρη,
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
Αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐσήειξεν,
Ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
Ἀνδράσιν ὡραίων, ὅτε ἔμπεδα πάντα φύωνται.
* Τῷ μὲν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἰλάσκου. Καὶ

Δεξιὰ σημαίνει.) τὰ αἴσια λέγει, καὶ τὰ ὠφελῆ τὸ βίον συμφέροντα. ὅτω καὶ δεξιὸς οἰωνὸς, λέγομεν τὸν αἴσιον. ἔργον δὲ λέγει, κατ' ἐξοχὴν τὸ κατὰ γεωργίαν. Βῶ- λος ἀρίσῃ.) βῶλος, ὁ κρατὴρ ὡς Ἀσκληπιάδης, ὁ γὰρ δύναται μακέλλαις ἀρᾶσαι βῶλος, ἀλλὰ σκάπελος· μάκελλα δὲ, ἡ μονόδους κέλλουσα, ἤγουν τέμνουσα· δίκελλα δὲ, ἡ δικόδους. τὸ δὲ γυρῶσαι, φυτεῦσαι, ἢ βόθρον ὀρύξαι, ἐν ᾧ τὰ φυτὰ καθαπτέον· ἢ καλῶς περισκάψαι, ἤγουν τὰ φυτὰ περιλαβεῖν κύ- κλῳ τῇ γῇ, περὶ τὴν ἐπιφάνειαν ὠφελοῦ τὸ μὴ ψύχεσθαι· ἡ γὰρ θερμα- σία συμβάλλεται αὐτοῖς. ἢ γυρῶσαι, στῆσαι κύκλῳ τὰ φυτῶν γλῶ σω- ρεῦσαι. ὁ τοίνυν Ζεὺς σημαίνει τὰς ὥρας τῆς γεωργίας καὶ τοῦ σπόρου· τὸ γὰρ λέγει, ἀντὶ τοῦ σημαίνει, ὡς τὸ, Ζηνὶ φόως ἐρέσσαι, καὶ ἄλλοις ἀθα- νάτοισιν. Αὐτὸς γὰρ τάγε.) αὐ- τὸς γὰρ τὰ ὡρῶν σημεῖα ἐποιήσατο τὰς ἀστέρας. ἐξῆλθε δὲ πρὸς ἀναπολὰς αὐτῶν, καὶ πρὸς δύσεις δηλῶσαι, οἷον τοῦ ἀδων ἐῴαν ἐπιτολὴν ἀρ- χὴν θέρους γίνεσθαι· δύσιν δὲ, ἀρχὴν χειμῶνος. κακῶς δὲ οἱ γράφοντες σημεῖα, τὴν τελευταίαν ὀξύνουσιν, ἵν' ᾖ τὸ δηλέομαι· θέλει γὰρ τὰς ἀστέ- ρας σημεῖα λέγειν τῶν καιρῶν. κα- λῶς δὲ τὰς ἀστέρας σημεῖα εἶπε, καὶ γὰρ ὁ ποιητὴς, τὸν κυβερνήτην ἀστέρα, σημεῖον εἶναι πολέμου λέγει, ἢ ναυ- τῖσι τέρας. τὸ δὲ ἐσκέψατο, ἀντὶ τοῦ ἐφρόντισεν, ὥστε ἑκάστου μέρους ἐνιαυτὸν σημεῖον εἶναι, οἷον τοῦ ἀδος ἀρότου καὶ ἀμήτου, κύνα δὲ θέρους. τὸ δὲ ἑξῆς, αὐτὸς γὰρ τάγε σήματα, ἤγουν τὰ ἄστρα σημεῖα ἐσήειξεν. ἐ- σκέψατο δὲ ἀντὶ τοῦ ἐθεώρησεν, ἐ- τήρησεν, ἐνόησεν, ἔγνω ποιήσας, ὁ τὰ πάντα δημιουργήσας θεός. ἢ δὲ

Ἀφ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Φαίνοται τοιαῦτη ἐσί· παρορμᾷ ὁ Ζεὺς τὺς ὅχλυς πρὸς ἀντίληψιν τῶν εἰς τὸν βίον ἐπιτηδείων, σημαίνων τὺς οἰκείυς χρόνυς ἐκ τῦ ἐτησίων ὡρῶν, ἔαρος, θέρυς, φθινοπώρυ, καὶ χειμῶνος. τὸ δὲ ἐφηρεμοῦν ἐξέφησιν, ἐπεὶ καὶ ἀκίνητοί εἰσιν οἱ ἀπλανεῖς καθ' αὑτύς· συμπεριάγονται δὲ τῇ τῶν ὅλων ῥύμῃ. ἰστέον δὲ ὅτι ἀστὴρ μέν ἐστιν ὁ μόνον ἐστὶ, καὶ ἀφ' αὑτὸν κινεῖται, οἷον κρόνος, ζεύς, καὶ τοιαῦτα. ἄστρον δὲ τό, τε κινούμενον, καὶ τὸ ἐκ πολλῶν ἀστέρων σύστημα, οἷον καρκῖνος, λέων. ἐπιτολὴ δέ τινος ἀστέρος, νεωτερίζουσί τινες περιγείων Αστρον λέγειν, οἷον ὀρχίδρου ἐπιτολή. λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως. ὠκεανὸς δὲ Πινδάρῳ, ἄστρον ὑπέρτατον. νῦν δὲ ὁ Αρατος, τὺς ἀστέρας ἄστρα εἴρηκε. Τῷ μιν ἀεί.) καὶ Πλάτων ἐν νόμοις, ὁ μὲν θεὸς ὀρχίλυτε καὶ τελευτὴν καὶ μέσα ἔχων, εὐθεῖα πορεύεται κατὰ φύσιν περιφερόμενος. ἴσως δὲ ἀπὸ τῦ σπονδῶν, τῷ τὴν μὲν πρώτην σπονδὴν εἶναι θεῶν τῶν ὀλυμπίων, δευτέραν δὲ ἡρώων, καὶ τελευτὴν Διὸς σωτῆρος. Ομηρος δὲ ἐπὶ τῦ βασιλέως, Εν σοι μὲν λήξω, σέο δ' ἄρξομαι. πρῶτον δὲ καὶ ὕστατον, ἀντὶ τῦ ἀπὸ παντὸς χρόνυ, καθ' ἑκάστην ὥραν.

Χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀθανάτοισιν ὄνειαρ,
Αὐτὸς καὶ πρότερη γενεή· χαίρετε Πιερίδες,
Μειλίχιαι μάλα πᾶσαι· ἐμοίγε μὲν ἀστέρας εἰπεῖν
*Εἰ θέμις ἐστὶν ἀνωγόν, τεκμήρατε πᾶσι ἀοιδήν. ἢ
Οἱ μὲν ὁμῶς πολέες τε, καὶ ἀλλυδις ἄλλοι ἐόντες,

Χαῖρε πάτερ.) τὸ αὐτός τε καὶ πρότερη γενεὴ, ἀμφότερα ἐπὶ τῦ Διὸς ὡσανεὶ ἔλεγλυ, χαῖρε, ἐπεὶ αὐτὸς εἶ καὶ ἡ πρότερα γενεά· οἱ δὲ πρότεραν γενεὰν τὺς τιτᾶνας φασιν, ὃς καλεῖται τὰ νῦν ἐδένα λόγον ἔχει, ἤδη καταπεπαρωθέντας ὑπὸ τῦ Διός. πρότερον γὰρ γεγόνασι καθ' Ησίοδον, ἢ τὺς ἀδελφὺς νοητέον τῦ Διός. ἢ πρότεραν τὴν ἑαυτῦ φησὶν ὁ ποιητὴς γενεὰν, τὺς πρώτυς, καὶ πρὸ αὐτῦ ἀστρονόμυς. βέλτιον δὲ τὺς ἥρωας νοεῖσθαι, ὧν καὶ τὰ πολλὰ τῶν ἄστρων ἐπώνυμα, οἷον περσεύς, ὠρίων. Μειλίχιαι.) μειλιχίας τὰς μέσας λέγει, ὅτι πρὸς πάντας καθόλυ εὐμενεῖς εἰσι. τὸ δὲ τεκμήρατε, ἀντὶ τῦ πιστώσασθε, ἀπὸ τῦ τεκμηρίυ· ἢ εἰς τέλος ἀγάγετε· τέκμωρ γάρ, τὸ τέλος, καὶ τέκμαρ. ἄλλοι δὲ ἐλείξατε. Οἱ μὲν ὁμῶς.) λέγει ὅτε οἱ ἀπλανεῖς ὁμοίως ἔληνται, ἐμοὶ δὲ κινῆνται· σπείζονται γὰρ καὶ ἀναποδίζυσιν. ἐρανῷ δὲ ἔληνται, ἀντὶ τῦ σοὶ τῷ ἐρανῷ φέρονται· οἱ γὰρ ἀπλανεῖς πάντες, ὡς πρὸς αἴσθησιν ἐπὶ μιᾶς ὑποκείμενοι ἐπιφανείας, ὁμοίως συμπεριάγονται παντὶ μέρει τῦ ἐρανῦ ὁμοταχῶς, ἐμοὶ δὲ ἰσοταχῶς. ὁμοταχεῖς μὲν γάρ εἰσιν ἀστέρες, οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσῳ ἔχοντες χρόνῳ, καὶ διανύοντες· ἰσοταχεῖς δὲ, οἱ τὰς ἴσας περιφερείας ἐν ἴσῳ χρόνῳ ἔχοντες,

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τες, καὶ κινδυνῶδες ὁμοιοπαχῶς δὲ κινοῦνται οἱ ἐπὶ δ ἰσημερινοῦ, τοῖς ἐπὶ δ πόλου κειμένοις, ὁμοίως δ ἰσοπαχῶς. τὸ μὲν οὖν ὁμοίως ἀφιστατέον, ἵν' ᾖ, ἀντὶ τοῦ ὁμοίως. παροξυνόμενον μὲν δὲ, ἐναντιωματικόν ἐστι συνδέσμου· προπερισπώμενον δὲ, ἐπίρρημά ἐστι μεσότητος, ἀπὸ δ ὁμοίως καὶ συγκοπὴ γινόμενον. ἡ δὲ τοιαύτη συγκοπὴ, δωρικόν ἐστιν· ἐκεῖνοι γὰρ τὰς ὁμοιότητας ὁτοιχάς φασι, καὶ τὰς ὁμοετεῖς, ὁετεῖς, καὶ τὰς μονώνυχας, μωνύχας, καὶ τὸ τρέμων, τρεῖν. τὸ δὲ πολέες, ἀπὸ τῆς πολὺς δύθειας· δύο γὰρ εἰσὶ τροχοί, τοῦ σημαίνοντα, ὁ πολλὸς, ἡ πολλὴ, τὸ πολλὸν, καὶ ὁ πολὺς, ἡ πολεῖα, τὸ πολύ. δ μὲν οὖν προτότυ, ποιητικῶς μὲν πᾶσα ἡ κλίσις εὔχρηστος, κἂν τοῖς τροσῳδίαις. λογογράφοις δὲ, πλὴν τ ἀρσενικῆς εὐθείας, καὶ αἰτιατικῆς, ὁ κλητικῆς. ὡσαύτως δὲ καὶ ὁ δετέρα· ὅτε μὲν ὁ πολλός φαμεν, ὅτε τὸ πολλόν· δ δὲ δευτέρα, ποιητικῶς μὲν, τῶ ἠθελυκοῦ ὄντος πάντη ἀχρήστα, ἡ δ ἀρσενικοῦ καὶ ὁ δετέρα κλίσις, πᾶσά ἐστιν εὔχρηστος· λογογράφοις δὲ καὶ αὐτοῖς δ ἠθελυκῶ ὄντος πάντη ἀχρήστα. ὁ δὲ μὲν εὕρηται ὅλως ἡ πολεῖα, δ ἀρσενικοῦ καὶ ὁ δετέρου αἱ δύθειαι μόνας, καὶ αἰτιατικὴ καὶ κλητικαί εἰσιν εὔχρηστοι, λαμβανόμεναι ἀντὶ τ ὁμοίων ἀχρήστων τροώσεων τοῦ τροφότα. τοῦ δὴ οὖν πολλὸς, καὶ τ συστοίχων αὐτῷ, ἀεὶ δύσι λ χραφομένων, τὸ πολὺς καὶ τὰ τούτῳ σύστοιχα δι' ἑνὸς χράφεται. ὁ δὲ ἄλλυδις, ἐπίρρημα τοπικὸν ὂν, ἀπὸ τοῦ ἄλλη ἐπιρρήματος γίνεται, ὥσπερ καὶ τὸ ἄμυδις ἀπὸ τοῦ ἅμα. καὶ δὴ σημαντέον ὅπως δ ἅμα δυσωνομάστα, τὸ ἄμυδις ψιλοῦται. τοῦτο δὲ καὶ ἐπ' ἄλλων πολλῶν ἴδοις τις ἄν, τ τροτοτύπων δηλαδὴ δασυνομένων, ψιλουμένων δὲ τῶν ἐξ ἐκείνων τροσῳδουμένων. αὐτίκα τὸ ὅλυμτος ἀπὸ δ ὅλος δασυνομένου τροσῳδούμενον, ὡσανεὶ ὁλόλαμτος, ψιλοῦται. ὁ τὸ ἧδος ἀπὸ δ ἡδονή. καὶ ὁ ἦμαρ ἀπὸ τοῦ ἡμέρα. ὁ μὲν οὖν ἄμυδις, καὶ ὅλυμτος μετέβαλε ὁ πνεῦμα, ἀφ' ὁ, τὸ μὴ ὁ τροῦτον σύμφωνον φωνῆεν μεταβληθῆναι εἰς υ. ὁ δὲ ἦμαρ καὶ ἧδος, ἀφ' τὸ ψευδέσθαι τροχαϊκά. ὁ δὲ ἐόντες, οἱ τ γραμματικῶν ἰόντες ἔγραψαν, καί φασι πάντας τὰς ἀστέρας τορεύεσθαι. Ἀράτῳ δὲ, τοὺς τ φαινομένων καὶ ἀπλανῶν ἀστέρων ἐστὶν ὁ λόγος, ἃ τῶν πλανήτων. οἱ δὲ ἀπλανεῖς, ἀεὶ ἐπὶ τοῦ αὐτοῦ ἑστῶτες, καὶ μόνον συγκαταφερόμενα καὶ ἀναφερόμενα τῷ ἑρμῶ, καὶ ὑπὸ τοῦ ἑρμοῦ κινούμενα, καὶ φερόμενα πᾶσαν ἡμέραν· καὶ ἐπειδὴ τοῦτο οὐκ ἤρκει, τροστέθηκε κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν. μάλιστα δὲ τροστέθηκε τὸ ἀεὶ, ἐπειδὴ ἀδιαλείπτως ὁ οὐρανὸς κινεῖται, καθάπερ φασὶν οἱ ποιηταὶ καὶ οἱ φυσικοὶ, μηδὲν εἶναι εἰς κίνησιν ἑρμοῦ ὀξύτερον. σκόπησον γὰρ πῶς ἀπὸ δ τροφότα πέρατος δ ἀνατολικοῦ, ἐν ιβ ὥραις εἰς τὸ ἄλλο δυτικὸν ἔρχεται πέρας. τὸ ἓν ἦμαρ, ἀντὶ δ νυχθημέρου ἀκουστέον.

Οὐρανῷ ἕλκον· πάντ' ἦμαρ σμερδαλέα ἀεί.
Αὐτὰρ ὁ γ' ὀλίγον μελανίστερος, ἀλλὰ μάλ' αὔτως
Αξων

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ἄξων αἰὲν ἄρηρεν· ἔχει δ' ἀτάλαντον ἅπαντη
Μεσηγὺς γαῖαν· τῷ δ' ὐρανὸς αὐτὸν ἀγινεῖ.

Συνεχὲς αἰεί.) ἀντὶ τοῦ ἀδιαλείπτως, ὡς εἴρηται. Διαφέρει δὲ τὸ συχνὸν τοῦ συνεχῶς, καίτοιγε ἀπ' αὐτοῦ ὡς ἔοικε γεγενημένον, μεταπεθέντος τοῦ ν. τὸ μὲν γὰρ συνεχὲς, τὸ ἀδιαλείπτως ποιεῖν τι σημαίνει· τὸ δὲ συχνὸν, τὸ πολλάκις μέν, οὐ μὴν δὲ καὶ ἀδιαλείπτως. διὸ καὶ οὐ καλῶς ἔχει λέγειν, συνεχῶς γράφω τινάς σε, ἀλλὰ συχνῶς, ἢ πυκνῶς, ἢ θαμά. ἰστέον δὲ ὅτι εἰ καὶ ἡ συνάθροισις βραχυκαταληκτεῖ, ὥσπερ καὶ αἱ λοιπαὶ τιθέσεις, πλὴν τῆς εἰς κὴ ἐξ, ὅμως συντοῦται ἀντὶ μακροῦ λαμβάνεται. εὕρηται δὲ καὶ ἐν ἄλλοις τοιοῦτο. Μεταγίαστε.) μεταστρέφε. γίαστον γὰρ τὸ στρέφομαι. ἔοικε δὲ ἀπὸ τοῦ νέομαι, ποιητικῶς τὸ πορεύομαι, οὗ ὁ μέλλων νήσομαι παρὰ τοῖς Δωριεῦσι διαλαθέντος τοῦ σ, ἵν' ᾖ ἐνεστώς. ἐδέποτε γὰρ ἐνεστὼς ἦν σ ἔχει, ὃ μέλλοντος γὰρ τοῦτο. καὶ ἐπειδὴ τινὰ τῶν δύο ἀστέρων οὔτε εἰσὶν ἀφθογγοι εὐρίσκεται, ὅτε μὲν (εἰ μὴ τὸ κρεῖττον καὶ τὸ ἧττον, ἢ ὅσα ἀπὸ τούτων) διὰ τοῦτο μεταβέβληται τὸ η εἰς ι, ὥσπερ ἀπὸ τοῦ ἐλῶ ἐλήσω ἐλίσσω συστρέφω. Ἰστέον δὲ ὅτι ἡ τοῦ οὐρανοῦ κίνησις, γίνεται ἐκ πάντων ἀναθυμιάσεων καὶ τῆς φυσικῆς, αἵτινες ἀναθυμιάσεις ῥυθμῷ τινι αὐτὸν κινοῦσιν. οἱ μὲν οὖν ἀστέρες πολλοί ὄντες, κατ' ἄλλους ἄλλοι τόπους κατεσκευασμένοι, συμπεριφέρονται τῷ ὐρανῷ κατ' ἐκάστην. ὁ δὲ νότιος ἄξων, οὐδὲ κατ' ὀλίγον κινεῖται. μένει δὲ ἀτάλαντος, ἔχων τὸ γῆς μέσον, καὶ ἰσορρόπον. περὶ δὲ τὸν ἄξονα ὑπὸ τῆς ἑαυτοῦ δίνης, κινεῖται ὁ ὐρανὸς ἀλήκτῳ κινήσει, ὐρανὸς μὲν οὖν ἐστιν ὁ περιέχων τὰ ἄλλα πάντα σωματικὰ, σφαῖρα αὐτός. ἄξων δέ ἐστι διάμετρος τοῦ κόσμου, δύο θεῖα διὰ τῶν πόλων ἐπιζευγνυμένη, μέσον μὲν ἔχουσα τὴν γῆν, τὰς δὲ δύο πόλους πέρατα, καὶ ἡ σφαῖρα περὶ ταῦτα μόνα στρέφεται. τὸν ἄξονα δὲν δεῖ νοεῖν ἀσώματον, γραμμὴν ἀπὸ τοῦ βορείου πόλου, καὶ μέχρι τοῦ νοτίου διὰ μέσης πεφυκυῖαν τῆς γῆς, ἣ συμβέβηκε κέντρον εἶναι τοῦ κόσμου τῇ ἰδίᾳ φύσει, καθ' ἣν ἀμετακίνητός ἐστιν, ἀστήλυτον αὐτὴν παρέχουσαν τὴν θέσιν. τὰ δὲ πέρατα τοῦ ὐρανοῦ, ἃ δὴ καὶ πόλους καλοῦσι τοῖς ἄκροις τοῦ ἄξονος ἐξ ἑκατέρου τῶν μερῶν νοουμένους, πόλοι καλοῦνται. Ἀτάλαντον ἀπάντη) δίκην γὰρ ζυγοῦ παντὸς τοῦ ὐρανοῦ εἰκότως, τὴν γῆν κέντρον περιέχει, καὶ διαπείρει αὐτὴν μέσην. τὰ γὰρ ὑπὲρ γῆν καὶ παρ' ἑκάτερα τοῦ ἄξονος τῆς γῆς, ἴσην αὐτὴν ἔχει, ὡς αὐτοῦ παλαντουμένου· ἴσην γὰρ αὐτὴν ἐξ ἑκατέρας μέρους ποιεῖ, αὐτὸς μέσος ὤν, καὶ εἰς δύο αὐτὴν τέμνων· ἢ ἀτάλαντον ἀπάντη, δηλαδὴ ἴσην καὶ ὁμοίαν. καὶ αὐτὴ γὰρ σφαιροειδής, καὶ ὁ ὐρανός. καὶ Ησίοδος, Γαῖα μέν τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ ὐρανὸν ἀστερόεντα. ἢ ἀτάλαντον, τὴν ἴσην κατὰ τὸ Διάστημα, ὡς φησὶ τὰ δύο ἡμισφαίρια. ὅσον γὰρ ἀπὸ τοῦ ὑπὲρ αὐτὴν τοῦ ὕψους ἡμισφαιρίου, τοσοῦτόν τε ὑπὸ αὐτὴν τὸ μῆκος ἄλλο ἡμισφαιρίου· αὐτὴ γὰρ ἐν μέσῳ τῶν δύο ἡμισφαιρίων κεῖται. Περὶ δὲ ὐρανός.) πολλὴ τοῦ Διαφόρου ἐντεῦθεν ἡ περὶ τὸν σφαῖρον ἐγένετο ζήτησις τοῖς μαθηματικοῖς καὶ γραμματικοῖς. οἱ μὲν γὰρ γραμματικοὶ ἀγνοήσαντες εἶπον, περιαγ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ειάγε ὁ ἑρανὸς τὸν ἄξονα. ἔστι δὲ τοῦτο τῶν ἀτοπωτάτων. εἰ γὰρ ἀκίνητον αὐτὸν ἀπεδώκαμεν, καὶ αὐτῷ τῷ Ἀράτῳ ἄντικρυς εἰπόντι, Αλλὰ μάλ' αὔτως ἄξων αἰὲν ἄρηρεν, πῶς αὐτοὶ φερέσθαι αὐτὸν φασίν; οἱ δὲ μαθηματικοὶ τὸ αὐτὸν δηλοῦσιν, ἵν' ᾖ ἑαυτόν. δύναται δὲ καὶ ψιλέμβιον σῴζειν τὸν λόγον, ἤγουν περὶ αὐτὸν τὸν ἄξονα ὁ ἑρανὸς πάντα τὰ ἄστρα ἀγινεῖ καὶ φέρει. ὁ γὰρ δὴ ὁ ἄξων τὸν ἑρανὸν φερέσθαι, ἀλλ' ἑρανὸς ἀφ' ἑαυτοῦ στρέφεται. εἰ δὲ καί τισιν εἴρηται τὸν ἄξονα φέρειν τὸν ἑρανόν, ἀλλ' ᾧ τρόπῳ τὸν χρόνον πάντα φέρειν φαμὲν, καὶ τὴν ὁδὸν τοὺς ὁδοιπόρους.

Καί μιν φραίνουσι δύω πόλοι ἀμφοτέρωθεν·
Αλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ Βορέαο,
Υψόθεν ὠκεανοῖο. δύω δέ μιν ἀμφὶς ἔχουσαι

Καί μιν φραίνουσιν.) ἀντὶ τοῦ περατοῦσι. τὰ γὰρ τοῦ ἄξονος πέρατα δύο πόλοι εἰσὶν, οὓς καὶ αὐτὸς ἐπάγει. πόλοι δὲ εἴρηνται, ἀφ' ὧν αὐτοὺς τὸν ἑρανὸν στρέφεσθαι. γραμμή δέ ἐστιν εὐθεῖα, ἀρξαμένη ἀπὸ σημείου, καὶ εἰς σημεῖον λήγουσα. ἀπὸ γάρ τινος ἀρχῆς ποιησάμενοι τὴν ἀρχὴν τῆς γραμμῆς, εἰς τι τέλος ἐλήξαμεν. ἡ οὖν εὐθεῖα γραμμὴ τοῦ ἄξονος, τοὺς δύο πόλους ἔχει, τοὺς ἀπὸ σημείου εἰς σημεῖον. Αλλ' ὁ μὲν οὐκ ἐπίοπτος.) οὐκ ἐσαφήνισεν ὁποῖον λέγει, ἀλλὰ διὰ τοῦ ἐπιφερομένου ἐδήλωσεν, ὅτι τὸν νότιον λέγει. ζητητέον δὲ, τί δήποτε τὴν ἀρχὴν ἐθέλων ποιήσασθαι, πρῶτον τοῦ νοτίου ἐμνήσθη; καί φαμεν, ὅτι ἔμελλε διαπείσειν τὸν τοῦ Βορείου πόλου, καὶ διὰ τοῦτο τὸν νότιον προέταξε τοῦ Βορείου. αἱ δὲ μεθαρμόσεις ὑμνελικαί, καὶ λαμπραί, καὶ ποθεσχὴς ἡ τῶν ποιήματος ἀρχή. Υψόθεν ὠκεανοῖο.) ὑψηλότερος γάρ ἐστιν ἀφανὴς, ἀδέποτε δυόμενος. καὶ Ομηρος δὲ, περὶ τῆς ἄρκτου ταύτης φησὶν, Οἵη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο. μόνη γὰρ ἀδύεται, τῶν ἄλλων δυομένων. ἄκροι δὲ εἴρηνται οἱονεὶ ἄκρα, καὶ κεφαλὴ τοῦ κόσμου. ὠκεανὸν δὲ τὸν ὁρίζοντα, ὁ Αρατος λέγει ποιητικῶς. ὁρίζων μὲν γάρ ἐστι, μεθ' ὃν οὐδὲν ἡμῖν ὁρᾶται. ὡσαύτως δὲ καὶ μὴ τὸν ὠκεανὸν, οὐδὲν ἡμῖν ἐστι γνωρίμον. ὠκεανὸς δὲ, ἡ ἐκτὸς καὶ μεγάλη θάλασσα καλεῖται, παρ' ὅσον ὠκέως ῥεῖ. κύκλῳ δὲ τῷ καθ' ἡμᾶς πέφυκεν οἰκουμένῃ, ἐξ αὐτοῦ δὲ καὶ εἰς αὐτὸν αἵ τε δύσεις καὶ ἀνατολαὶ γίνονται. ὡς δὲ ἀλλαχοῦ, ὅτι καὶ συναῦθα παρηκολούθησεν Ομήρῳ εἰπόντι, ὠκεανὸν τὸν ὁρίζοντα. δημιουργῷ γὰρ ἐκεῖνος τῷ Ηφαίστῳ χρησάμενος, τῷ τοῦ Αχιλλέως ἀσπίδα ποιεῖ, ὡς ὑπέθετο κόσμου μίμημα, ὅπου δὴ τελευταῖον τὸν ὠκεανὸν ἐποίησεν. ὁ δὲ Ηρόδοτος ὑπολαμβάνει τὸν ὠκεανὸν· καὶ σύμπαν δὲ, λέγει πλάσμα εἶναι ποιητικόν. ἀτλαντικὴν δὲ, αὐτὸ πέλαγος καλεῖ. Δύω δέ μιν ἀμφὶς ἔχουσαι.) φησὶ τὸν βόρειον πόλον δηλονότι.

Αρκτοι

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ἄρκτοι ἅμα ἔχουσι, τὸν δὴ καλέουσι ἅμαξαν.

Ἄρκτοι ἅμα τροχόωσι.) ὡδὶ τὸν βόρειον πόλον ἄρκτοι ἅμα τροχόωσιν, ἤγουν τρέχουσι. Διὰ γὰρ τοῦτο ἅμαξαι ὠνομάσθησαν. δύο εἰσὶν, ὧν τὴν μὲν Ναύπλιος εὗρε, τὴν δὲ δευτέραν τὴν ἐλάττονα Θαλῆς ὁ σοφός. λέγει δὲ τὴν ἐλάττονα εἰκόνα κυνὸς εἶναι, ἥτις ἐστὶ Καλλιστοῦς, ἥτις συγκυνηγὸς ἐστὶ τῇ Ἀρτέμιδι. ἀποθανούσης δὲ αὐτῆς, συναπέθανε καὶ ἡ κύων. τὸ δὲ ὄνομα ἔχει, διὰ τὸ κυνὸς ἀρὰν ἔχειν. Τὸν δὴ καλέουσι.) διότι φησὶν ἐπιφύονται ἀλλήλαις, διὰ τοῦτο καλεῖν ἅμαξαν. καὶ γὰρ ἐπιεικῶς ἐν ταῖς ὁδοῖς ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἅμαξαι, ἰσοβαρέσι βασὶ χεώμεναι ἐν τῇ πορείᾳ. διαφέρει δὲ ἐν ἑκατέρῳ τροχὸν τι, καὶ ὁ ῥυμός. ῥυμὸς δὲ ἐστὶ ἡ ἀρά. ἡ μὲν ἐν ἄρκτῳ κυρίως, ἅμαξα δὲ κατ' ἐπίκλησιν. τὴν μίαν δὲ τούτων τῶν ἄρκτων τὴν μεγάλην, ἣν μετ' ὀλίγον ὀνομάσει ἑλίκην, Ἡσίοδος φησὶ Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν, ἐλέσθαι μετὰ Ἀρτέμιδος τὴν τοῦ τὰς θήρας ἀγωγὴν ἐν ὄρεσι ποιεῖσθαι. φθαρεῖσαν δὲ ὑπὸ Διὸς, καὶ ἤδη μέλλουσαν τεκεῖν, ὀφθεῖσαν ὑπ' αὐτῆς λουομένην, ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν, μηνῦσαι αὐτῇ, καὶ ὅτω τεκεῖν ἄρκτον οὖσαν, τὴν κληθέντα, δρακόντα. οὖσαν δὲ ἐν τῷ ὄρει, θηρσὶ θοῶσαν ὑπ' ἀπόλλωνος πυθῶνος, καὶ ὠδῖσι θοῶσαν Λυκάονι μετὰ τοῦ βρέφους. μετὰ χρόνον δέ τινα, δόξαν εἰσελθεῖν εἰς τὸ λυκαῖον, ὅ ἐστι Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον, ὑπὸ δὲ ἰδίων υἱῶν διωκομένην. τὸν Ἀρκάδων δὲ αὐτὴν ἀναιρεῖν μελλόντων διὰ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγνώμην αὐτῆς ἐξείλετο, καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, ἄρκτον αὐτὴν ὀνομάσας, διὰ τὸ συμπτώμα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ἑπτὰ ἀμυδρούς, ἐφ' ἑκατέρων τῶν νώτων ἓξ, δύο ἐπὶ ταῖς ὠμοπλάταις, δύο ἐπὶ τοῖς ἐμπροσθεν ποσὶ, δύο ἐπ' ἄκρων τοῦ ῥάχεως, ἕνα λαμπρὸν ἐπὶ τῷ ὀπισθίῳ σκέλει, δύο ἐπ' ἄκρων τῶν ποδῶν, δύο ἐπὶ τοῦ κέρκου, οἱ πάντες, εἰκοσιπέντε ἀστέρες. οὐ χρὴ δὲ ἐν τῷ οὐρανῷ τινὰ οἴεσθαι ἄρκτους καὶ ἁμάξας, ἀλλὰ πέντε αἰτίας εὐλόγως πίπτειν τῆς ἀστροθεσίας, ἢ γὰρ καθ' ὁμοίωσιν τοῦ ὀνόματος τῷ ἄστρῳ, ὥσπερ ὁ σκορπίος· ἢ καθὰ παθός, ὡς ὁ κύων· δίκην γὰρ ἐπὶ τῇ ἐπιστολῇ τοῦ κυνὸς, λυπῆσαι οἱ χερσαῖοι κύνες. ἢ μυθικῶς, ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον· ἢ κατὰ τιμὴν, ὡς οἱ διόσκουροι δίδυμοι· ἢ διοεισμοῦ, καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζῳδίων. αἱ τοίνυν ἄρκτοι, ἅμαξαι μὲν καθ' ὁμοιότητα, ἄρκτοι δὲ, μυθικῶς. τὸ δὴ καλέουσι, διὰ τοῦτο φησὶ, διὰ τὸ τρέχειν ὡς ἅμαξαι, ταύτην τὴν ὀνομασίαν ἔχουσιν· ἢ διὰ τὸ ἔχειν σχῆμα ἁμάξης, τῶν τεσσάρων ἀστέρων ἀντὶ τροχῶν παραλαμβανομένων, τῶν δὲ τριῶν τοῦ ἑρμοῦ ἀντὶ ῥυμοῦ. ἢ ἅμαξαν λέγουσι, διὰ τὸ ἅμα συνεῖναι τῷ ἅξονι, καὶ τῇ τούτου ἀρχῇ εἶναι· ἢ ὅπερ ἐπὶ τῆς μιᾶς λέγει, τοῦτο καὶ ἐπὶ τῶν δύο εἴληφε· κυρίως γὰρ ἡ ἑλίκη ἅμαξα λέγεται. οἱ γὰρ ἑπτὰ ἀστέρες ἁμάξης τύπον ἐπέχουσιν. οἱ μὲν ἐπὶ τοῦ τροχοῦ τέσσαρες (τροχὸν δὲ λέγει τοὺς γεωμέτρας, τὸν τετράγωνον) οἱ δὲ ἐπὶ μήκους, τὸν ῥυμὸν πληροῦσι. δείξομεν δὲ καὶ παρ' Ὁμήρῳ τὸ ἐφ' ἑνὸς λεγόμενον, καὶ ἐπὶ τῶν δύο ληφθέν. δουλὶ δ' ἀκόντιζεν, ὅσσον τε θέμις ἄλλος τις ἰέναι. τὸ γὰρ ἀκοντίζειν, ἴδιον μόνον ἐπὶ τοῦ δόρατος· ὁ δὲ καὶ ἐπὶ τοῦ ἰέναι αὐτὸ ἔθηκε.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αἱ δήτοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν
Ἀλλήλων. ἀεὶ δὲ κατωμάδιαι φορέονται,
Ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἔτεον δή,
Κρήτηθεν κεῖναι δὲ Διὸς μεγάλου ἰότητι,
Οὐρανὸν ἐστιβάσασαν, ὁ μὲν * τότε κυρίζουσα, ποτὲ
Δίκτῳ ἐν εὐώδει, ὄρεος ἀπὸ κέδρον * ἰδαίοιο, αἰγαίοιο.
Ἀντρῳ ἐγκατέθεντο, καὶ ἔτρεφον εἰς ἐνιαυτόν,
Δικταῖοι κοῦρητες, ὅτε Κρόνον * ἐψεύδοντο. ἐψεύσαντο.
Οἱ τὼ μὲν κυνόσουραν ἐπίκλησιν καλέουσι·
Τὼ δ' ἑτέρω, ἑλίκω. ἑλίκη γε μὲν ἄνδρες ἀχαιοὶ
Εἶν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν,

Αἱ δήτοι κεφαλάς.) ἐπὶ τὰς ἀλλήλων ἰξύας τὰς κεφαλὰς ἔχουσι τετραμμένας, οὐκ ἐπὶ τὰς αὐτῶν, ὡς Ἀρίσταρχος ὁ γραμματικὸς ᾠήθη, τὰς κεφαλὰς αὐτῶν ποιῶν τὴν ἰσθμίαν ἰξὺν ἐπιστρέφειν, ὃ δοκεῖ φανόμενον, ὁρῶσι γὰρ εἰς τὰ μετόπισθεν, καὶ οὐκ εἰσὶ ποιοῦσαι ἑαυτὰς ἀναστραμμένας. ἡ δὲ ἰξύς, καὶ ἄκνησις λέγεται, διὰ οὐκ ἔξεστι ξύσαι, ἐὰν δὲ ῥᾴδιον κινῆσαι. Εἰ ἔτεον δὴ Κρήτηθεν.) ὁ Ἄρατος τὸ ἑαυτοῦ ποίημα, καὶ ποιητικόν πως θελήσας εἶναι, ἀλλ' ἐκ μόνον φυσικὸν, ὅπως ἴδιόν ἐστι ποιητοῦ (τὸ μῦθον λέγειν) κατὰ καιρὸν, καὶ οὐκ ἀπιθάνως μεταχειρίζεται. καὶ ὡς μὴ ποιητὴς παρεισάγει, ὡς ἐκ τοῦ φυσικοῦ ἀφαλεγόμενος, οὐ πάνυ τῷ μύθῳ συντρέχειν δοκεῖ. ἐπήγαγεν ἂν τὸ Εἰ ἔτεον δὴ, ὅπερ ἐστὶ διασαγοῦν, ἦγεν τοῦ ἀμφιβάλλοντος. ὁ δὲ μῦθος βούλεται παῦτας ἀναστραφῆναι ἐν Κρήτῃ, ὅτε τὸν πυρίχιον, ἢ ἐστιν ἔνοπλος ὄρχησις, γυμνάδειν λέγεται, διὰ ὀρχήσεως, γυμνάδειν λέγεται, διὰ ὀρχούμενοι οἱ Κορύβαντες, ἐπὶ ὅλον ἐνιαυτὸν τὸν Δία ἔθρεψαν, λανθάνοντες τὸν Κρόνον. Δίκτῳ.) σίκτον ἀκρωτήριον τῆς Κρήτης πλησίον τῆς ἴδης ἔχοντος ὄρος, ἔνθα ἐστὶν ἀλυσὶς Διὸς τέμενος, ὃ δοκεῖ τὸ ὑπερκείμενον ἐκεῖ ὄρος ἄλυσις. Σχεδὸν.) τινὲς γράφουσι, σχεδὸν αἰγαίοιο, παρὰ Ἡσιόδου λαβόντες, φάσκοντος, τὸν Δία ἐν αἰγαίῳ ὄρει πεφυκνωμένῳ ἐν Κρήτῃ τραφῆναι. εἰ δὲ μὴ ἐστιν ὄρος ἐν Κρήτῃ αἰγαῖον, ἄμεινον διασκέλλειν τῇ ἀναγνώσει οὕτω, ὅ μὲν ὅτε αὐτὸν κελεύοντα δίκτῳ ἐν εὐώδει, εἶτα ἀφ' ἑτέρας ἀρχῆς ὄρεος σχεδὸν ἰδαίοιο ἄντρῳ ἐγκατέθεντο. καὶ δὴ νοητέον, ὅτι ἐγκυμήθη μὲν ἐν τῷ δίκτῳ, μετεκομίσθη δὲ ἐπὶ τὸ ἄντρον τῆς ἴδης. τοῖς δὲ ζητοῦσι πῶς τὸ δίκτον τοῦ ἰδαίου ὄρους πλησίον φησὶν, ἐπὶ πολλῶν ἀπέχον· ῥητέον ὅτι σίζειν εἰσὶ εἰς τὸ εὐώδες· τὸ δὲ ὄρεος σχεδὸν ἰδαίοιο συναπτέον εἰς τὸ ἄντρῳ. Ζηνόδοτος δὲ ὁ μακεδὼν, δίκτον ἤκουσε τὸ καλούμενον δίκ-

ταμνον

πεμνον, καὶ διὰ τοῦτο καὶ εὐώδες τοῦτο εἰρῆσθαι. οὐκεῖ δὲ ὡσὸς εὐτοκίαν συμβάλλεσθαι, διὸ καὶ τὴν Εἰλείθυιαν τούτῳ σέφεσι· καίτοι ἐπ' αὐτοῖς Εὐφορίων φησὶ, Σπειραμένη θαλεροῖσι σιωπήτελο δικτάμνοισι. καὶ τοῖς αἰξὶ δὴ ὡσὸς φιλὴς ἡ βολάνη· βέλει γὰρ τρωθεῖσα ὀρύπτεσιν αὐτὴν, καὶ ἀποβάλλεσι τὸ βέλος. κέρητες δὲ, καὶ κηρύσσαντες, καὶ ἱερεῖοι δάκτυλοι, οἱ αὐτοί εἰσιν. ἔοικε δὲ εἰπεῖν δίκη, ἀλλ' οἱ ποιηταὶ εἰώθασι τὰ γένη ἐναλλάσσειν, ὡς χώρα, χῶρος, ὠνὴ, ὦνος· ἔτως ἔν καὶ δίκτη, δίκτος. λέγεται δὲ ἔτω, παρὰ τὸ, τὴν Δία ἐκεῖσε τεχθεῖσαν· εὐώδη δὲ διὰ τὴν ἐκεῖσε φυομένην βοτάνην, τὴν καλεμένην δίκταμνον. Τῶν μὲν) Οἱ δικταῖοι κέρητες, φησὶν, ἐκάλεν τῶν μὲν μικρῶν, κυνόσουραν, διὰ τὴν τῆς ἑρᾶς ὁμοιότητα· τῶν δὲ ἑτέραν, ἑλίκην, διὰ τὸ ἑλίσσεσθαι, καὶ ἑλικώδη πως τὴν ἑρᾶν ἔχειν· ἢ καὶ διὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ ἑρατοῦ, κατ' ἐξοχὴν πάντων ὠνομάσθη. ὡς ὁ λέων, θὴρ κατ' ἐξοχὴν εἴρηται. Τὴν δ' ἑτέραν ἑλίκην) τὴν μείζονα δηλαδὴ ἄρκτον ἑλίκην καλοῦσι, ὡσὸς τὰς ἕλικας καὶ συστροφὰς αὐτῆς· μείζως γὰρ ἔχει τὰς περιφορὰς τῆς κυνοσούρας, ὥστε καὶ μείζων ἔσται κατὰ τὸ μέγεθος· ἡ μὲν γὰρ κυνόσουρα ὡσὶ τὸ πόλον ἐστὶν, ἡ δὲ ὡσὶ τὸν ὅλον βόρειον κύκλον. τῶν μὲν ἔν ἑλίκων τεκμήριον οἱ Ἕλληνες ἔχουσι πλέοντες, ὅπου χρὴ τὰς ναῦς ἀγεῖν, ἤγουν στρέφειν.

Τῇ δ' ἄρα Φοίνικες πίσσινοι περόωσι θάλασσαν.
Ἀλλ' ἡ μὲν καθαρὴ, καὶ ἐπιφράσασθαι ἑτοίμη,
Πολλὴ φαινομένη ἑλίκη στρώτης ἐπὸ νυκτός·
Ἡ δ' ἑτέρη ὀλίγη μέν, ἀταρ ναύτῃσιν ἀρείων.
Μειοτέρῃ γὰρ πᾶσα σὺν στρέφεται στροφάλιγγι,
Τῇ καὶ σιδόνιοι ἰθυπόρῳ νῆα πλέονται.

Τῇ δ' ἄρα Φοίνικες) τῇ κυνοσούρᾳ, δηλαδὴ τῇ μικρᾷ· βραχεῖα γὰρ ἔστιν ἐν τῷ αὐτῷ στρέφεται, καὶ ἔστι μᾶλλον τῆς ἑλίκης εὐσύνοπτος, ἐ τῇ λαμπηδόνι, ἀμυδρὰ γὰρ, ἀλλὰ τῷ ὂν τῷ αὐτῷ περιστρέφεσθαι· ἡ γὰρ ἑτέρα ὂν τῇ περιφορᾷ μείζων κυκλουμένη, σὺν ἔστιν εὐσύνοπτος, διὰ τὸ πολυφερές. οἱ δὲν Φοίνικες ὡς ἀκριβέστερον τὸ ναυτικὸν, καὶ ἐμπειρότεροι τῶν ἑλλήνων, θαῤῥοῦντες ὡσὸς τῶν ἐλάττων βλέπεσι, καὶ ἅμα ὁ εὑρετὴς αὐτῆς Θαλῆς, εἰς Φοίνικας ἀνάγει τὸ γένος. οἱ δὲ Ἕλληνες ὂν ἀγνωσίᾳ τῶν μικρῶν ὄντες, ὡσὸς τῶν ἑλίκων ὁρῶντες ὡς μείζονα, διαπλέουσιν· ὅθεν αὐτὰς ὁ Ὅμηρος ἑλίκωπας καλεῖ, ὡς εἰς αὐτὰς τὰς ὤπας ἀνατείνοντας. οἱ δὲ λέγοντες, διὰ τὸ εὐόφθαλμους εἶναι τὰς Ἕλληνας, ἑλίκωπας καλεῖσθαι, ἁμαρτάνουσι. παρθένος γὰρ τὸ ἐπίθετον. Πολλὴ φαινομένη) ἐ τῷ μεγέθει, ἀλλὰ τῇ λαμπηδόνι. τὸ δὲ στρώτης ἀπὸ νυκτὸς, ἀπὸ ἑσπέρας φησὶν· εὐθέως γὰρ δύναντος τοῦ ἡλίου φαίνεται, καὶ ἔστι μὴ γὰρ δίολος, ἀλλὰ μεθημέραν ὑπὸ τοῦ ἡλίου κρύπτεται.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Η δὲ ἑτέρη ὀλίγη) Η δὲ κυνόσουρα τῷ φωτὶ μὲν ὀλίγη ἐστὶν, ἀμυδροτέρα γάρ· τοῖς δὲ ναυτιλλομένοις ἐπιτηδειοτέρα. καὶ ἐπιφέρει, ὅτι ἐλάττονι τροφῇ χρῆται καὶ διαφορᾷ, ὥστε ἐν τῷ αὐτῷ τρεφομένη δύσνοτος ἐστὶν, ὁ μεγάλως τῇ περιφορᾷ ποιουμένη, καὶ ἀπολανῶσαν τὸ τόπον τῆς γῆς, ὡς ἡ μείζων ἐλίκη.

Τὰς δὲ δι' ἀμφοτέρας, οἵη ποταμοῖο ἀπορρώξ,
Εἵλξῃ), μέγα θαῦμα, δράκων, περί τ' ἀμφίτ' ἐαγώς
Μυελὸς αἰὲν ἄεργα οἱ ἀστείρης ἑκάτερθε φύονται
Ἄρκτοι, κυανέῳ πεφυλαγμέναι ὠκεανοῖο.
Αὐτὰρ ὅγ' ἀλλήλων μυχιαίτῃ "ἀπτεμνε) ὑρῇ· "ἀπτείνεται
Ἄλλων δὲ ἀστείρῃ περιτέρμονται· ἡ μὲν οἱ ἄκρη ἰσοδ-
Οὐρὴ πρὸς κεφαλὴν ἑλίκης "ἀναπαύε) ἄρκτου "ἀπο-
Στείρῃ δ' ἐν κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν
Εἵλκεται κεφαλῇ, καὶ οἱ ποδὸς ἔρχε) ἀγωγή.
Ἐκ δ' αὖθις παλίορσος ἀνατρέχει· ἡ μὲν ἐκείνη
Οἰόθεν, ἡ δ' οἷος κεφαλὴ ὑπολάμπεται ἀστήρ,
Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν, εἷς δ' ὑπένερθεν
Ἑξαπίνης ἐπέχει γλήνης δφιοῖο πελώρου.
Λοξὸν δ' ὄφρα κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
Ἀκρίῳ εἰς ἑλίκης ὑρίῳ· μάλα δ' ὀξὺ κατ' ἰθύ
Καὶ σῶμα καὶ κροτάφοιο τὰ δεξιὰ νῶτα ὑρῇ
Κεῖνα τῷ κεφαλὴ τῇ νήχε), ἧχί περ ἄκραι
Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσι.

Τὰς δὲ δι' ἀμφοτέρας) Ἀντὶ τοῦ, δι' ἀμφοτέρων αὐτῶν ὁ δράκων εἵλεται· πῶσις ἀντὶ πώσεως, καὶ καλεῖται τὸ τοιοῦτο ἑλλειασμός· ἢ ὅτι διαχωρίζει ἀμφοτέρας. Ποταμοῖο) Παραδοὰς τὸ πολυκαμπὲς τῶν ποταμίων ὑδάτων, ὡσὸς τὸ τῶ δράκοντος μέγεθος. καὶ ἐν τούτῳ δὲ Ησιόδου ζηλωτὴς φαίνεται· ἐκεῖνος γὰρ τὸν ποταμὸν εἴκασε δράκοντι, εἰπών, Καί τε διερχόμενος ἠπφυρμένος ἐστὶ δράκων ὡς. ὅτος δὲ τοιοῦτον δρά-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δράκοντα ποδαμὸν ὠνόμασε, μᾶλλον δὲ ἀπείκασε. δράκων δέ ἐστιν, ὃν ἀνεῖλε Κάδμος· καθ' ἕτερος δέ, ὁ τὰ μῆλα φυλάσσων τοῦ ἑσπερίδων· ὡς δὲ ὁ πολὺς λόγος, ὑπὸ Ἀπόλλωνος ἀνῃρεθεὶς πυθίων. Ἀποῤῥώξ) Καὶ Ὅμηρος, Νέκταρός ἐστιν ἀπόῤῥωξ, οἷον ἀπόῤῥοια καὶ ἀπόσπασμα. Εἰλεῖται μέγα θαῦμα) Καθ' ὑπερβολὴν, λαμπρόθεν ὢν καὶ μέγας ἀμφοτέρας διέζωσε τὰς ἄρκτους. Φέρεται δὲ περὶ τοῦ δράκοντος καὶ κρητικὸς μῦθος, ὡς ἄρα ἐπιόντος ποτὲ τοῦ Κρόνου ὁ Ζεὺς εὐλαβηθεὶς, ἑαυτὸν μὲν εἰς δράκοντα μετεμόρφωσε, τὰς δὲ τροφοὺς εἰς ἄρκτους· ἐπιτάσσας τε πατέρα, μὴ τὸ ὠφελαλαβεῖν τὴν βασιλείαν, τὸ συμβὰν ἑαυτῷ καὶ ταῖς τροφοῖς, τῷ ὄρκῳ συνεσήμανε κύκλῳ. ὡς ἂν ἔν εἰδὼς ὁ ποιητὴς, ὅτι μετεμορφώθη εἰς δράκοντα, εἶπε, μέγα θαῦμα. τὸ δὲ, περὶ τ' ἀμφί τε, ἀντὶ τοῦ, ὑπὸ τὰς ἄρκτους, καὶ περὶ τὰς ἄρκτους κεκλασμένος. Αἱ σ' ἄρα οἱ σπείρης) Αἵ τινες ἄρκτοι ἑκατέρωθεν αὐτὸν ταῖς σπείραις τὸν ὠκεανὸν φυλάττουσαι· μόναι γὰρ οὐ δύουσι, διὰ τὸ εἶναι αὐτὰς ἐν τῷ βορειοτέρῳ. Αὐτὰρ ὅ γ' ἄλλων) Περὶ τῶν δύο ἄρκτων ὁ λόγος. λέγει δὲ, ὁ δράκων θατέραν μὲν τῶν ἄρκτων τῇ ἐσχάτῃ αὐτοῦ οὐρᾷ ἀποτέμνεται· θατέραν δὲ, τὴν κυνόσουραν, τῇ στείρᾳ περιτέμνεται, ἤγουν λαμβάνει. τὸ δὲ ἀποτέμνεται, γράφεται ⟨ἐπιτείνεται, ἢ ἀποτείνεται· καλὰ γὰρ τὴν ἀρκτον ἀπετέταται ὁ δράκων. ἐπάγει γοῦν, ὅτι ἡ μὲν ἀρκτος ἐστὶ τὴν κεφαλὴν τοῦ ἑλίκης ἐστὶν, ἡ δὲ στεῖρα περιλαμβάνει τὴν τῆς κυνοσούρας κεφαλήν. τὸ δὲ, ποδὸς ἄχρις, ὅτι ἡ στεῖρα φθάνει, φησὶν, ἄχρι τοῦ ὀπισθίου. Ἐκ σ' αὖτις παλίνορσος) Ἡ στεῖρα, φησὶν, ἐξ ὑποστροφῆς ἀνατρέφει. ὅπως δὲ ὁ ποιητὴς ἐπὶ τοῦ φοβουμένου τὸν δράκοντα εἶπεν,

Ὡς σ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέσῃ, τοῦτο ὁ Ἄρατος ἐπὶ τοῦ δράκοντός φησι· τοιοῦτον δέ τι αἰνίττεται, ὅτι τῇ μὲν ἀρᾷ περιλαμβάνει τὴν κεφαλὴν τῆς ἑλίκης, τῇ δὲ στείρᾳ ⟨δὲ⟩ πᾶσαν περιλαμβάνει τὴν κυνόσουραν ἄχρι τοῦ ὀπισθίου ποδῶν· εἶτα αὖθις ὡς εἰς ἀνατολὴν νεύσας, πάλιν ἀποκλίνει εἰς δύσιν, καὶ τὴν κεφαλὴν ἔχει ὑπὸ τοὺς πόδας τοῦ ἐν γόνασιν. Οὐ μὲν ἐκείνη) Ἤγουν τῇ στείρᾳ, οὐ σ' οἰόθεν, ἤγουν ἐξ ἑνὸς μέρους, ἐ σ' οἷος, ἤγουν εἷς, ἀλλὰ πολλοί εἰσιν ἐπικείμενοι τῇ τοῦ δράκοντος κεφαλῇ φαεινοὶ ἀστέρες· πέντε γάρ. Λοξὸν σ' ἐσὶ) Λίαν διδασκαλικῶς τοῦτο· ἡ δὲ κεφαλὴ αὐτοῦ λελόξωται, ⟨καὶ οὐκ⟩ ἔστιν ἀνατεταμένη ἴση, ἀλλ' ὥσπερ ὀλίγον ἐπινεύουσα εἰς τὸ ἄκρον τῆς οὐρᾶς τῆς ἑλίκης· ὥστε κατ' εὐθὺ τοῦ ἄκρου τῆς οὐρᾶς ἵσασθαι τὸ τετόμα τοῦ δράκοντος, καὶ ὁ δεξιὸς κρόταφος. ἐπιλαμβάνονται δέ τινες, λέγοντες μὴ εἶναι τὰ δεξιὰ, ἀλλὰ τὰ ἀριστερά. ἀπολογητέον ὅτι, ὅπερ ⟨ἐστὶ⟩ τοῦ ἀριστεροῦ κροτάφου τὸ δεξιὸν μέρος εἶπε. Μίσγονται) Αἱ δύσεις ⟨καὶ⟩ ἀνατολαὶ πλησιάζουσιν ἀλλήλαις, λήγουσι μὲν ἡ ἀναβολὴ, ἀρχομένη δὲ ἡ δύσις, καθ' ὃ τὸ μεσημβρινὸν πόλου, ἤγουν κύκλου, ὅς ἐστι μεσαίτατος πίσης τῆς σφαίρας· ἐκεῖ γὰρ γινόμενος ὁ ἥλιος, μεσημβρινὸς γίνεται, καὶ λοιπὸν ἑβδόμην ὥραν ἀπ' αὐτοῦ ὡς ἐπὶ δύσιν ἄρχεται ποιεῖν. ἡ δὲ τοῦ δράκοντος κεφαλὴ ὑπὸ τὸ τέλμα οὖσα τοῦ ἐν γόνασι, ⟨καὶ⟩ τοῦ ὑπὸ τὰ πόδα κύκλου ἐπιψαύουσα, ἐν τῇ τοῦ ὥρανοῦ κινήσει γινομένη περὶ τὸ μεσημβρινὸν κύκλον, ἐπ' ἄκροις τοῦ ὠκεανοῦ ὕδασιν ἔρχεται, ἐ γὰρ καταδύεται, ἀλλ' ὥσπερ αὐθῖς ἐπανήκεται· ὀλίγον γάρ ἐστι σφόδρα ⟨τὸ⟩ διορίζον. ὁ δὲ νοῦς, ἐκείνη ἡ κεφαλὴ ἡ τοῦ δράκοντος καθ' τοῦτο τὸ μέρος νήχεται ⟨καὶ⟩ κολυμβᾷ ἄκρῳ τῷ ὠκεανῷ,

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

νε, τουτέστι τῷ ὀρίζοντι, ἐπιψαύσασι, ὅπερ ἡ τε δύσις ἐστὶ καὶ ἡ ἀνάτολὴ ψαύσεσιν ἀλλήλων, δηλονότι περὶ τὸν μεσημβρινὸν πόλον, ἤγουν κύκλον. ὁ δὲ Κράτης φησὶν, ὡς τοῦτο τὸ ὀρίζοντα μίξις ἀμφοτέρων γίνεται, ὡς ὁ Ὅμηρος,

Ἐμοὶ γὰρ νυκτὸς καὶ ἡμαλίος εἰσὶ κέλευθοι· ἐπεὶ οὖ παρ' ἐκείνης ἡ ἡμέρα ὡρῶν κ'. ἡ δὲ νὺξ τεσσάρων, σωματίδιον ὅσον ἐδέπω τῆς δύσεως τῇ ἀνατολῇ, εὐλόγως τοῦτο εἴρηκε.

Τῆς δ' αὖτε μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὼς
Εἴδωλον· τὸ μὲν ὄψε δύῃ καὶ ἀμφαδὸν εἰπεῖν,
Οὐδ' ὅτιν' ἔρεμα κεῖνος πόθῳ· ἀλλά μιν αὖτως δέ τινι
Ἐν γόνασιν καλέουσι. τὸ δ' αὖτ' ἐν γούνασι κάρηνον
Ὀκλάζοντι ἔοικεν· ἔπ' ἀμφοτέρων δέ οἱ ὦμων ἀὼ
Χεῖρες ἀείρονται, τρύχουσι γέ μιν ἀλγυδὶς ἄλγη
Ὅσσον ἐς ὀργυιήν· μέσσῳ δ' ἐφύπερθε καρήνῳ
Δεξιτερὸς, ποδὸς ἄκρον ἔχει, σκολιοῖο δράκοντος.

Τῆς δ' αὖτε μογέοντι) Ἀνθ' τοῦ σκοτεινῆς· Ἄρατος ἀπὸ τῶν ἐγνωσμένων ἤδη καὶ μὴ ἐγνωσμένα διδάσκει. ἐπειδὴ γὰρ περὶ τοῦ δράκοντος κεφαλῆς διεξῆλθεν, ἐκ ταύτης τὸν ἐπικείμενον ἐν γούνασι καλέμενον διδάσκει. ὁ δὲ λόγος, τοῦτόν τε κεφαλῆς, ἀνδρὶ μογέοντι καὶ κάμνοντι ὁμοίως κυλίνδεται. ἐκ κατ' αὐτὸν δὲ κυλίνδεται· συγκαταφερομένῳ γὰρ τῷ ἑρμῷ συγκαταφέρεται. ἀλλὰ πρὸς τὴν θέσιν ἀποβλέπει· καὶ γὰρ ὀκλάσας καὶ καταπεσὼν ἔστιν, ὡς ἀπὸ τινος κάμματος. πρὸς δὲ τὸ εἴδωλον τοῦτο οὐδεὶς ἰσχυρῆσαι ἴσχυσεν, ἀλλὰ μόνον τὸν ἐν γούνασιν αὐτῷ προστεῖπον, ἤγουν ὀνόμασαν. ὀκλάζοντι δὲ ἔοικε καθὰ τὴν θέσιν. εἴδωλον δέ ἐστιν ἀφομοίωμα ἀνθρώπου. Ὅσσον ἐς ὀργυιὴν) Περὶ τοῦ ἐν γούνασι βολόμενον δεῖξαι, ὅτι πάντη ἐκτεταμένας εἰ σὺν αἱ χεῖρες αὐτοῦ, τὴν ὀργυιὰν εἶπεν· ἔστι γὰρ ὀργυιὰ, ἡ τῶν δύο χειρῶν ἔκτασις. Μέσσῳ δ' ἐφύπερθε καρήνῳ) Ὑπεράνωθεν δὲ τῆς κεφαλῆς τοῦ δράκοντος, ὁ ἐν γούνασι τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ ἔχει τοῦ ἀριστεροῦ. τὸ δὲ δεξιτερὸς σκωπτικόν τῷ δράκοντος, ἵν' ᾖ, τοῦ βορειοτέρου δράκοντος· ὁ γὰρ δράκων βορειοτερός ἐστι τοῦ ἐν γούνασι. τὸ δεξιτερὸν δὲ σημαίνει τὸ βορειότερον. καὶ ἰστέον ὅτι εὐλογώτατα ἡμᾶς διδάσκει· ἡμῶν γὰρ ἱσταμένων πρὸς τὴν τοῦ παντὸς κίνησιν, τὰ δεξιὰ μέρη εἰσὶ τὰ βόρεια, τὰ δὲ ἀριστερὰ, τὰ νότια. ὥστε οὐ φυσικῶς τὸ δεξιτερὸς ἐστι τὸ βορειότερος· ἡ δὲ τοῦ παντὸς κίνησις πρὸς δυσμὰς γίνεται.

Αὐτὸς

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸς ἔθηκε
Σῇρι ἐμῷ Διόνυσος, ἀποιχομένης Ἀριάδνης,
Νώτῳ "ὑποστρέφε) κεκμηκότος εἰδώλοιο, "ἐπι-
Νώτῳ μὲν στέφανος πελάῃ, κεφαλῇ γε μὲν ἄκρῃ

Αὐτοῦ κἀκεῖνος στέφανος) Τὸν κίσσινον στέφανον, ὃν ἐφόρει ὁ Διόνυσος μετὰ θάνατον τῆς Ἀριάδνης ἰχυροπαλῶν, ἀπέθετο καὶ κατηστέρισε, μνημόσυνον τῆς ἐπ' Ἀριάδνῃ συμφορᾶς. τινὲς δὲ αὐτὸν εἶναί φασιν, ὃν ἔλαβεν Ἀριάδνη γαμουμένη Διονύσῳ, ὑπὲρ τοῦ Ἀφροδίτης τὸ ὡραῖον εἰς δῶρον· καταστερισθῆναι δὲ ἐπὶ μνήμῃ τοῦ Διονύσου φιλίας. τὸ δὲ, ἀγαυὸς ἔθηκεν, ἐὰν μὲν ἀγαυὸς ἀναγνωσθῇ, ὁ Διόνυσος ἂν εἴη· ἐὰν δὲ ἀγαυὸν, τὸν στέφανον δεῖ νοεῖν· ἵν' ᾖ τὸν τῆς ἐρωμένης στέφανον ἀγαυὸν καὶ ἔνδοξον καὶ ἐπίσημον καὶ λαμπρὸν ἐποίησεν ἐν τῷ ἐρανῷ· πέντε γάρ εἰσι λαμπραὶ ἀστέρες, οἵτινες ἀποτελοῦσι τὸν στέφανον. Νώτῳ ὑποστρέφετα) Τὸ στρέφεται, ἤγουν συγκινεῖται τῷ ἐρανῷ, ἢ ἐπιστρέφεται τῷ νώτῳ. δοκεῖ δὲ ὡς ἔτυχε ἐπικυλίεσθαι τῷ νώτῳ ἢ ἐν γόνασι κεκμηκότος· ἀπὸ ἧς ἐγνωσμένης τὸ ἄγνωστον ἔδηξεν, ἀπὸ ἧς εἰδώλου τὸν στέφανον. τῷ δὲ κεκμηκότος, διδασκαλικῶς κέχρηται πάλιν, ὡς πρὸς τὸ εἰρημένον· δοκεῖ γὰρ κάμνειν, ἀφ' οὗ τὸ ὀκλάζειν, καὶ τὰς χεῖρας πίνειν.

Σκέπλεο πῇ κεφαλῇ ὀφιοῦχος· ἐκ δ' ἄρ' ἐκείνης,
Αὐτὸν ὑπερφαίνοντα φαεινόμενον ὀφιοῦχον.
Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
Εἰδόνται· κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ,
Ἰσωποὶ τελέθοιεν· ἀπαρ χέρες ἄμμα ἴσαν·
Λευκὴ γὰρ τῇ ἐκ τῇ ἀξεπιδέρομαι ἀγλαΐ· "ἀ-
Αλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι, ἃς γὰρ "ἐλαφραὶ· μαυ-
Αμφότεραι δὴ "ὄφιος πεπονεῖαι), ὅς ῥά τε μέσσον ρωσαὶ
Δινεύει ὀφιοῦχον. ὁ δ' ἐμμενὲς οὖν ἐπὶ χειρῶν
Ποσσὶν, ὑπαθλίζει μέγα θηρίον, ἀμφοτέρῃσι
Σκορπίον ὀφθαλμῷ τε καὶ ἐν γαστρὶ βεβηκώς

Ορθὸς·

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ορθός· ἀτὰρ οἱ ὄφις γε δύο τρέφει ἐν χερσί,
Δεξιτερῇ ὀλίγης, σκαιῇ γε μάλα ὑψόθι πολλός.
Καὶ δή οἱ τεφάνῃ ὑπερκεκλιμένη ἄκρα γλύφει·
Νψόθι γὰρ σπείρης, μεγάλας ἐπιμαίεο χηλάς·
Αλλ' αἰεὶ φαέων ἐπιδευέες, οὐδέν ἀγαυαί.

Σκέπτεο πάρ κεφαλήν) Σωνήθως πάλιν ὁ ἐγνωσμένος τὸ μήπω ἡμῖν γνωσὸν εἰς γνῶσιν ἄγει. ὁ δὲ νῦς, ὑπὲρ δὲ τῆ ἄκρη κεφαλῆ ἐν γέναται, τὴν κεφαλὴν βλέπε τοῦ ὀφιούχου· ἐπιψαύει γὰρ ἡ κεφαλὴ τοῦ ὀφιούχου, ἐν γέναται. εἴρηται δὲ ὀφιοῦχος, ὅτι ὁ φιν ἔχει καὶ φέρει. ἔστος δέ ἐστι κατά τινας Ηρακλῆς ἐπὶ ὄφεως βεβηκώς· οἱ δὲ Προμηθέα λέγουσιν· οἱ δὲ, Τάνταλον· ἄλλοι, Θύβριν· οἱ δὲ, Θησέα. ἄλλοι δέ φασιν αὐτὸν εἶναι τὸν Ηρακλέα Λίβυσι πολεμοῦντα, ἐπιλιπόντων δὲ αὐτῷ τοξευμάτων, ἐπὶ γόνυ πεσόντα καὶ λίθους βάλλειν, ἐξ αὐτοῦ ζωὸς ὕστερον εὐξαμένου· ἄλλοι δὲ, καὶ Ιξίονά φασι. Τοῖοι οἱ κεφαλῆ) Θαυμασικῶς φησι· τοιοῦτοι γὰρ οἱ ὦμοι τοῦ κεφαλίου αὐτοῦ ὄντες λάμπουσιν· οἱ γὰρ τοὺς ὤμους αὐτοῦ ἀποτελοῦντες ἀστέρες, καθ' ὑπερβολὴν εἰσὶ λαμπροί. Καὶ ὧν δίχόμοιο σελήνη) Αντὶ τοῦ δίχομοίου· ἐδεῖ δὲ τὸ μεταπλασμὸν τὰς εὐθείας ἐπιζητεῖν, ὡς καὶ τὸ ἐρυσάρματες. τὸ δὲ ἰσωποί, ἴσοι καὶ τὴν λαμπρότητα, οὐ μὴν δὲ αἱ χεῖρες ἴσαι. Λεπτὴ τῇ κατὰ τῇ) Καὶ τῇ ἀριστερᾷ, φησι, χαλεπὴ, κατὰ τῇ ἄλλη, ἤγουν τῇ δεξιᾷ, λεπτοτέρα τε καὶ ἀμυδροτέρα, ὡς ποθὲν σύγκεισιν τῶν ὤμων, ἐπικειμένη λαμπηδόνι· κάτω δὲ τοῦ ὀφιούχου καὶ τῆς δράκοντος ἀπόφασις, καὶ τὰς σκορπίου μεγάλας χηλὰς ἐπιζήτει. καλῶς δ' εἶπεν, ἐπιμαίεο· ὡς γὰρ ἀμυδρὰς αὐτὰς φησι, σκέπτου καὶ κατανόει, ἃ γάρ εἰσιν ἔκλαμπρα θεῖ. Αμφότεραι) Αμφότεραί, φησιν, αἱ χεῖρες τοῦ ὀφιούχου, ποιοῦσι καὶ ἐνεργοῦσιν. Ο δ' ἑλισσόμενος) Ο δὲ ὀφιοῦχος ἀσφαλῶς δι' ὅλου βαίνων, ἀμφοτέροις τοῖς ἑαυτοῦ ποσὶ τὸ μέγα θηρίον, τὸ σκορπίον, ἐνθλίβει καὶ πατεῖ, τῷ μὲν ἀριστερῷ ποδὶ ἐπὶ τοῦ ὀφθαλμοῦ βαίνων, τῷ δὲ δεξιῷ ἐπὶ τοῦ θώρακος. Εὐδόξῳ δὲ καὶ Ιππάρχῳ ἀρχαιοτέροις ἐστὶν Αράτου, ἃ δοκεῖ ἀμφοτέρους τοὺς πόδας βεβηκέναι τοῦ ὀφιούχου ἐπὶ τοῦ σκορπίου, ἀλλὰ μόνον τὸν ἕτερον, τὸν δὲ ἕτερον ὑπὸ τὸν σκορπίον δοκεῖ εἶναι, καὶ μὴ φαίνεσθαι ὅλως τὸν πεπτωκότα. ἵνα οὖν μὴ δόξωμεν αὐτοῖς Εὐδόξῳ καὶ Ιππάρχῳ δοκίμοις οὖσιν, ἐναντιώσεσθαι, ἁρμόσωμεν αὐτοῖς τὸ ῥηθὲν κατὰ τὴν ἔκδοσιν, ὅτως. ὁ δ' ἐμμελὴς οὗ ἐπαρκούντως ποσίν· εἶπε εἰς μέσον ἐπιθλίβει θηρίον τῷ ἑνὶ ποδὶ κατ' ἀμφότερα· ὁ γὰρ εἷς πὰς κεῖται μεταξὺ τοῦ ὀφθαλμοῦ καὶ τοῦ θώρακος, μέγα δὲ θηρίον, ὅτι τὸν ὠρίωνα ἀνεῖλεν, ἢ διὰ τὸ μέγεθος τοῦ σκορπίου. Αζὰρ οἱ ὄφις) Επεξεργάζεται καὶ φησιν, ὁ δὲ ὄφις ἀμφοτέραις ταῖς χερσὶ τοῦ ὀφιούχου ἑλίσσεται, καὶ ἐν τῇ δεξιᾷ ὀλίγης ἐστὶν ὁ δράκων· βραχὺ γάρ ἐστιν ἐν τῇ δεξιᾷ τὸ σῶμα τὸν ἕτερον. ἐν δὲ τῇ ἀριστερᾷ τὸ λοιπὸν σῶμά ἐστι. κατατείνει δὲ τοῦ ὀφιούχου ἀριστερᾶς, καὶ τοῦ δράκοντος σπειρώσεως,

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ώσεως, ὃ τὰς τῦ σκορπίυ μεγάλας χηλὰς ἐπιζήτει. καλῶς δ' εἶπεν, ἐπιμαίεο. ἐπειδὴ γὰρ ἐφεξῆς ἀμυδρὰς αὐτὰς ἐρεῖ, διὰ τῦθ' λέγει, σκέπε, ἃ γάρ εἰσιν ἔκλαμψεθι. καὶ δή οἱ σεφάνῳ) ἔχει ὁ ὄφις τὴν κεφαλὴν σωάπτεσθαι τῷ σεφάνῳ· τὴν δὲ ἕ σώματος καμπὴν, κατ' εὐθεῖαν τῶν χηλῶν. μεγάλας δὲ εἶπε τὰς χηλὰς, ἢ ὅλη ζωδίυ μέγεθος ἔχεσιν· ἢ ὡς σύγκρισιν τῶν τῦ καρκίνυ χηλῶν· ἢ ὅτι δωδέκατον μέρος ἐπέχεσι τῦ ζωδιακῦ αἱ χηλαὶ τῦ σκορπίυ. τοιῦτος γὰρ οἱ ἀστρολόγοι τὸ ζυγὸν εἶναί φασιν· ἢ ὅτι ἐμφερεῖς εἰσι πλάστιγξι· ἢ ὅτι ὡδὶ πρὸς τοῖς ποσίν εἰσι τῆς παρθένυ. ἡ αὐτὴ δὲ ἐστὶ δίκη, ἥπερ ὃ ζυγὰ παλαιτεύει.

Ἐξόπιθεν δ' ἐλίκης φέρε) ἐλαόντι ἐοικὼς
Ἀρκτοφύλαξ, τόν ῥ' ἄνδρες ἐπικλείουσι Βοώτην,
Οὔνεχ' ἁμαξάων ἐπαφώμιός εἰδε) ἄρηϊ
Καὶ μάλα πᾶς ἀείδηλος· ἅτὸ ζώνη δέ οἱ αὐτὸς
Ἐξ ἄλλων ἀρήϊος ἐλίσσε) ἀμφαδὸν ἀστήρ.

Ἐξόπιθεν δ' ἐλίκης) Σφόδρα καλῶς ἢ πεπόντως τῇ ἀληθείᾳ χρῆται· διὸ ἢ ἀπὸ τῦ βορείυ καπελθὼν ἐπὶ τὸν κύκλον, πάλιν ἀνατρέχει ἐπὶ τὸ λιπόμενα. ὁ δὲ νῶτος ἔστιν, ὀπισθεν δὲ τ ἐλίκης τ ἄρκτυ, φέρεται πως ἐλαύνοντι ὄμοιον, ὁ καλεῖται ἀρκτοφύλαξ. τὸ δὲ, ἐλάοντι ἐοικὼς, διὰ τὸ τῇ δεξιᾷ καλαύεσθαι φέρειν, ἢ τῇ ἀριστερᾷ ὡς ὠξ ἐφάπτεσθαι τ ἁμάξης, τ ἄρκτυ δηλονότι· δοκεῖ γὰρ αὐτὴν φυλάττειν. Βοώτης δὲ, τ λεγομένης ἄρκτυ, ἥγεται τ ἁμάξης, ὡς ὠξ τὰς ἐν αὐτῇ βῶς ἐλαύνων, καλαύεσθαι φέρων, ὅ ἐστι ῥόπαλον. ἔστιν δὲ ὁ ἀρκτοφύλαξ, ἀρκάς ἐστι, Διὸς καὶ Καλλισῦς παῖς, ὃς ᾤκει τὸ λύκαιον, παρ' αἰπόλῳ τινὶ τραφείς· ὃν λέγει) κινδυνεύοντα σὺν μητρὶ ἀναιρεθῆναι, καὶ τὰ ἐν λυκαίῳ νόμον, ὁ Ζεὺς ἐλεήσας αὐτὸν, καταστέρισε. τῦτον δὲ λέγει) εἶναι ἀρκτοφύλακα, καὶ Βοώτην, ὃ ὠρίωνα. φησὶ γὰρ ὃ ὁ ποιητὴς, Καὶ ὁ ψὲ δύοντα Βοώτην. λέγεται καὶ τευγητής. Καὶ μάλα πᾶς) Οὗτος, σφόδρα γὰρ ἔχει ἅπασι λαμπρὸς πάντως· ἔναι δὲ ἔχει ἐν μέσῃ ζώνῃ, ὅς τις διὰ τὴν ὑπερβολὴν τ λαμπρότητος ἰδίως καὶ αὐτὸς λέγει) ἀρκτῖρον, ὁμοίως τῷ παντὶ ἀρκτίρῳ, λαμπηδόνα γὰρ ἔχει ἐ τὴν τυχοῦσαν.

Ἀμφοτέρωσι δὲ ποσὶν ὑπὸ σκέλος βοώτυ
Παρθένον, ἣ ῥ' ἐν "χερσὶ φέρει στάχυν ἀγλαὸν ἕνδον· "χεὶ
Εἴτ' οὖν Ἀστραίυ κείνη γένος, ὃν ῥά τέ φασιν
Ἀστρων ἀρχαίων πατέρ' ἔμμεναι· εἴτέ που ἄλλυ,

Εὔκηλος

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Εὔκηλος φορέοιτο· λόγος γε μὲν ἐντεέχῃ ἄλλος
Ἀνθρώπους, ὡς δῆθεν ὀπιχθονίη πάρεος ἦεν,
Ἤρχετο δ' ἀνθρώπων κατεναντίη· οὐδέ ποτ' ἀνδρῶν,
Οὐδέποτ' ἀρχαίων ἠνίσατο φῦλα γυναικῶν,
Ἀλλ' ἀναμὶξ ἐκάθητο, καὶ ἀθανάτη περ ἐοῦσα·
Καί ἑ δίκην καλέεσκον· ἀγορμὴν δὲ γέροντες,
Ἤ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
Δημοτέρας ἴσαν ὀπαὶ ἔρχομένας θέμιτας.

Παρθένον) Ὑπὸ δὲ τοῖς ἀμφοτέροις ποσὶ ⸗ βοώτου ἐστὶν ἡ παρθένος· στάχυς δέ ἐστιν ὑπὸ τῆς ἀριστερᾶς χειρὸς αὐτῆς δυμενέλης, ὅθεν καὶ ἀγλαΐσις αὐτῷ κέκληται, στάχυν δὲ ἡ παρθένος φέρει, ἐπειδὴ δύσεβέστατον ἡ γεωργία. πάντες δὲ ὅσοι περὶ τὴν παρθένον κατέλεξαν ληροῦσι· πεποίηται γὰρ τὸ πᾶν ποιητικῇ καὶ αἰνιγματώδει ἐξουσίᾳ. ὁ μέντοι ποιητὴς τὴν δίκην ὡς ἀδιάφθαρτον κόρην ὑποτίθεται, καταλιπεῖν μὲν τὸν πρότερον κόσμον, διὰ τὴν τῶν πονηρίας αὔξησιν, καταλαβεῖν δὲ τὸν οὐρανόν. ὅπερ καὶ Ἡσίοδος ἐπὶ τῆς αἰδοῦς καὶ νεμέσεως εἶπε, Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης, καὶ τὰ ἑξῆς. οἱονεὶ διὰ ⸗ ὀνείδους πειρώμενος πρὸς τὴν δικαιοσύνην ἐπιστρέφειν. τὸ δὲ, ἐν χερὶ φέρει, ἀ διεστίφησε ποίᾳ χρεία, ἴσως διὰ τὸ μέτεστιν ἐμποδιζόμενος. θεωρεῖται δὲ ἐν τῇ ἀριστερᾷ. τινὲς δὲ φασιν Ἄστρον ἀρχαῖον γεγενέναι μαθηματικὸν, τὸ πρῶτον εὑρόντα τὴν τῶν ἄστρων ὀνομασίαν, ὅθεν καὶ πατέρα ἄστρων ἐπικαλεῖσθαι. πολὺς οὖν ⸗ διάφορος λόγος τοῖς παλαιοτέροις περὶ ταύτης τῆς παρθένου ἐκινήθη. καὶ οἱ μὲν αὐτὴν ἔφασαν εἶναι θυγατέρα Διὸς, καθὰ ⸗ Ἡσίοδος, Δίκη Διὸς ἐκγεγαῶτα. ἄλλοι δ' αὐτὴν Ἀστραίας ⸗ Ἡμέρας. ἐπειδὴ οὖν πολὺς ⸗ διάφορος ὁ περὶ αὐτῆς λόγος, φησὶν Ἄρατος, εἴτ' οὖν Ἀστραίας, εἴτε τοῦ ἄλλου, ἀπλῶς μὲν ἐπισημαινόμενος εἶναι αὐτὴν Ἀστραίας, ἐχὶ δὲ καὶ τοῖς ἄλλοις ἐναντιούμενος. εὔκηλος ⸗ φορέοιτο) Ἡσυχῇ, δύμενος φέροιτο ἐν ἠρανῷ. τῶν μὲν οὖν ἄλλων μύθων ἐπιψαύειν μὲν, συνδεκνύμενος ⸗ δὲ μὴ ἀγνοεῖν· τὸ δὲ ἐπὶ τῆς δίκης μόνον χρεῶν ἐξειργάσαμεν εἰκότως, ἐκπομπεύει γὰρ τὸ καθ' ἡμᾶς τὴν δίκην χρήσιμον καὶ βιωφελὲς ἐκ ⸗ μύθου τοῖς ἀνθρώποις, συνδεκνύμενος ⸗ λαμπρῶς καὶ μεγαλοφώνως, καὶ ὡς ἂν ἄλλός τις εἶπεν, Ὁμηρικῷ κλάσματι χρησάμενος ⸗. Ἤρχετο δ' ἀνθρώπων) Εἰς συνάντησιν τῶν ἀνθρώπων ἤρχετο, τουτέστι φανερῶς ἐφοίτα. ἢ τὸ δίκαιον τῶν πρότερον ἀνθρώπων θέλων δεῖξαι ὁ Ἄρατος, φησὶν, ὅτι ⸗ θεὸς ἦσαν εἰς τὸ φανερὸν ἐφοίτα τοῖς ἀνθρώποις, διὰ τὸ εἶναι αὐτὰς δικαίας. τὸ δὲ ἀρχαῖον, ⸗ χρυσοῦν ἦλθος παρ' Ἡσιόδῳ. Ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δ' αὖ θῶκοι. ἐκλωπισμὸς δὲ τὸ ἠπείλα, ἀντὶ ⸗ δὲ διήλεγχε τὴν κακίαν αὐτῶν, ὅτι

τοι-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τοιαύτῳ ῥυείην οἱ χρύσεοι ἔλιπον. ἀγλαρομμένη δὲ, ἀντὶ τοῦ ἀγείρεσα, ὅ ἐστι σωναθροίζουσα τὰς παλαιοτέρας ἀνθρώπους. σωναγείρουσα, ἤτοι ἔν τινι ἐκκλησίᾳ, ἢ ὅτι ἔ ωδηγτυχόντ ἐν ὁδῷ τοὺς δημιοφελεῖς θεμιστας ἐξηγεῖτο. τὸ δὲ, ἐπισπέρχουσα, ἐπισπουδάζουσα, διδάσκουσα, σπεύδουσα, ὑποδεικνῦσα. δημοτέρας δὲ, δημοτικὰς, τῷ δικαιοσυνίῳ δηλαδὴ, καὶ τοὺς ἄλλας ἀρετάς. ὅλως δὲ τῷ ἰσοτέλειαν ὠδῇ Ησιόδῳ εἰληφεν. ἐδέπω δέ, φησι, τότε οἱ ἄνθρωποι περὶ κακῆς ζώσεως ἔννοιαν εἶχον, ἐδὲ τὸ δίκαιον ἀνετρέπετο, ἀλλ' ὑπὸ γεωργίας ἔζων· καθ' ὃς χρόνους λῷ τὸ χρυσοῦν γένος. μετασχόντων δὲ ἐκείνων, ἀκέπι ὁμοίως σωλῶ αὐτοῖς, ἀλλὰ εἰς τὰ ὄρη ἀνεχώρα, ἀφ' ὧν τὰς ἐπιγινομένας ἀδικίας τὸ ἀνθρώπινον γένος μισήσασα, καὶ λοιπὸν τοῖς ἄστροις σωνειλημμένη. δημοτέρας δὲ, πρακτικὰς, καὶ ἐ τυραννικάς.

Οὔπω λδυγαλέῳ τότε νείκεος ἤπίσαντο,
Οὐδὲ δίκαρίσιος πολυμερμφέος, ὃν τε κυδοιμῷ·
Αὖτως δ' ἔζωον χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
Καὶ βίον ὅ πω ἰῆες ἀποτρωθεν ἠγίνεσκον,
Ἀλλὰ βόες καὶ ἄρητρα· καὶ αὐτὴ πότνια λαῶν
Μυεία πάντα πέδιχε δίκη δώτειρα δικαίων.
Τόφρ' ἰῶ, ὄφρ' ἔτι γαῖα θεὸς χρύσεον ἔφερβεν·
Ἀργυρέῳ δ' ὀλίγη τε, καὶ ὀκέτι πάμπαν ἐτοίμη
Ὠμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν·
Ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.

Οὔπω λδυγαλέου) Ἐκλυισμὸς πάλιν τοιοῦτο, ὅπω ἠπίσαντο νείκεος, ἀντὶ τοῦ ὅπω εἰδησαν τὰς ἀδίκους ζώσης ταύτας καὶ φιλονεικίας. τὸ δὲ πολυμερμφέος, τῆ ἀδίκῳ φιλονεικίας, τῆ ἐχέσης μέμψεις καὶ λόγους καὶ ἀμφισβητήσεις. Αὖτως δ' ἔζωον) Ἀπλῶς, ἀκάκως, χωρὶς ἀδικίας καὶ τῶν ἄλλων κακῶν. τὸ δὲ, χαλεπὴ δ' ἀπέκειτο θάλασσα, ἀντὶ τοῦ ἐδὲ παρεκινδύνευον οἱ ἄνθρωποι ἐν θαλάσσῃ διὰ τὸ βίον. ἐκάστῳ γὰ ἐπιχώρια ἤρκει τε καὶ ἤρεσκε. καὶ Πίνδαρος, Οὐδὲ πόντιον ὕδωρ, κλυτὰν ὠδὰ δίαιταν, περὶ τῶν μακάρων λέγων. Τόφρ' ἰῶ) Πλωκαῶς τε ἐπὶ τῇ γῇ καὶ τὰς πόλεσιν ἰῶ, ἕως περιῶ τὸ χρυσοῦν γένος ἐπὶ τῆς γῆς. Ἀργυρέῳ δ' ὀλίγη) Ἀντὶ τοῦ σωνίως καὶ ὀλίγως αὐτῷ διέτριβεν. Ἀλλ' ἔμπης ἔτι κεῖνο) Ἀλλ' ὅμως, φησὶν, εἰ καὶ τοὺς παλαιοὺς ἐπόθει· ἀλλὰ καὶ κατ' ἐκεῖνο ἰῶ τοῖς ἀνθρώποις, ἦγεν κατὰ τὸ ἀργυροῦν γένος. καὶ ὠφέλει αὐτοῖς, τὴν συνυπάρχουσαν κακίαν διελέγχουσα, ὅπ τοιαύτῳ ῥυείην οἱ χρύσεοι ἔλιπον.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ηρχετο δ' ἐξ ὀρέων "ὁπαδείελος ἠχιόεντων "ὑποδ-
Μοιωαξ. ὑ" δήτω ἐπεμίσγετο μειλιχίοισιν. "δὲ τεω
Αλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώ-
Ηπείλῃ δ' ἠπειτα καθαπτομένη κακότητος, (νας,
Οὐδ' ἔτ', ἔφη, εἰσωπὸς ἐλεύσεαθ' καλέουσιν·
Οἷον χρύσφοι πατέρες γενεὴ ἐλίποντο
Χέρσῳ τερπόμενοι, ὑμεῖς δὲ κακώτερα "τ' ὄζειεθε." τεξ-
Καὶ δή που πόλεμοι, καὶ δὴ ἀνάρσιον αἷμα
Εωτε) ἀνθρώποισι "κακὸν δ' ἐπικείσε) ἄλγος." κοε-
Ως εἰπὼν σ', ὀρέων ἐπεμαίετο· τὸς δ' ἀρα λαὸς κων
Εἰς αὐτὸν ἔπι "πάμπαν ἐλίμπανε παντοίονς. "πάντας

Ηρχετο δ' ἐξ ὀρέων) Παρεγένετο δ' ἐν τῆς πόλεσιν ἐπὶ εἰρήνῃ ἐκ τῶν ὀρῶν· ἐν γὰρ τοῖς ὄρεσι διέτριβε, μηκέτι τῆς ἀσεβείας Δίκης ὀρεσκομούσης. ἐσπέρας δὲ ἤρχετο ἐν τῆς πόλεσιν, ὅτε αὐτῷ ἐδεῖς ἐώρα· φησὶ γὰρ, ὅτι ἐδενὶ ἤθελεν ἀναμίγνυσθαι. Ὁ δὲ μοιωαξ σὺν ἑνὶ μόνῳ ἀνδρὶ, κἀκείνῳ δὲ συμετύγχανεν, ὡς ἔοικε τῷ τῶν κακίαν ἐκ γένους ἀλλάξαντι. Αλλ' ὁπότ' ἀνθρώπων) Αλλ' ὁπηνίκα ποιοῦμόν ἐν τοῖς ὄρεσι ὡς Δίκης ἐκεῖ γὰρ ἐν τῆς πόλεσιν ἀνδρῶν ἐωλήρα τὰς κηλώνας, ἐκεῖ αὐτὰς μεταπεμπομούν, ἠπείλῃ τοῖς λοιποῖς ἐκ διήλεγχε τῶν αὐτῶν κακίαν· ἐποιεῖτο γὰρ τὴν ἐκκλησίαν ἐκεῖ συμβουλεύσα, ἀλλὰ τὰ παρόντα διελέγχεσα. οὐνίπε) οὐ Δία ἐκ εἰπεῖν, ἐωλήρα τὰς κηλώνας, ὅτι ἐκ μεσόγαια δικαίοις ζῶσι καμούσοις, γεωργίαν ἐκθεχόντες, καὶ ἐκ ἀδικίας κέρδος καὶ ἐμπορίας. Οἷον χρύσφοι) Ἐκ ἐθεσώπα τὴν δίκης θαυμάζουσης, ὅπως οἱ χρύσφοι πατέρες χέρνα γλυκεῖαν ἐλίποντο, καὶ ὡς ἔτοι οἱ ἀργυρᾶν τέξονται τὰς χαλκᾶς πολὺ χείρας, οἷς ἐπικείσεται ἄλγος, καὶ Δία τὰς πολέμους, καὶ Δία τὰ φαῦλα. Ως εἰπὼν σ' ὀρέων) Ταῦτα εἰπόνσα ἐπὶ τὰ ὑψηλὰ τῶν ὀρῶν ἔβαινεν ἀπὸ τῶν κηλωνῶν, κἀκεῖθεν φρονπίζουσα, ὅμως μούτοι ἐπὶ γῆς ἔσα καὶ ἐν ὄρεσι, τὰς ὄχλας εἰς αὐτὸν ἀφορῶνσας κατελίμπανε.

Αλλ'

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθναθ', οἱ δ' ἐγέγυντο,
Χαλκείη γλυκερὴ, πρωτέρων ὀλοώτεροι ἄνδρες,
Οἵ πρῶτοι κακίεργον ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίῃ, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀρότηρων·
Καὶ τότε μισήσασα δίκη κείνων γένος ἀνδρῶν,
Ἔπταθ' ὑπερμενίη. τῶν δ' ἄρα νάσατο χώρῃ
Ἠΐ περ ἐννυχίη ἐπὶ φαίνεται ἀνθρώποισι "ἑπτα-
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο βοώτου.

Πρῶτοι δὲ βοῶν) Καὶ εἰς τοῦτο ἱκανῶς μέμφεται αὐτοῖς ὀρξαμένοις ἐθίειν ἀροτῆρας βοῦς, τῆς πρώτης γλυκερᾶς μήπω τοῦτο ἐργασαμένης· οἱ γὰρ ἀρχαῖοι ἐφύλαττον τοὺς ἐργάτας βοῦς κολάζοντες. διὸ καὶ Ομηρός φησι, Βοῶν ἀδμήτην, ἣν ἔπω ὑπὸ ζυγὸν ἦγαγεν ἀνήρ. ἀσεβὲς γὰρ ἐδόκει τὸν ἀρότην σφάξαι. πρῶτοι δὲ ἀθλιώτατοι ἐγένοντο τοιούτων βοῶν. φασὶ δὲ καὶ τοὺς ὁδυσσέως ἑταίρους τοιούτους βοῦς κατεδηδοκέναι. ὠργίσθη δὲ ὁ ἥλιος· ἐπεὶ οἱ ἀροτῆρες βόες, καὶ ὁρῶν ἡμᾶς τὸν ἥλιον αὐτοί εἰσι, τροφῆς πορισταὶ ὄντες, καὶ τὴν ζωτικὴν δυνάμιν διὰ τούτους τοῖς πᾶσιν ἔμμηνον ἀπεργαζόμενοι. Επταθ' ὑπερμενίη) Οἴδε γὰρ ὁ Αρατος τὴν παρθένον δύο πτέρυγας ἔχουσαν, καθάπερ καὶ ἄλλοι μαρτυροῦσι, καὶ πτέρυγας αὐτῇ ἔχειν ἐν τοῖς καταστερισμοῖς. Ηΐ περ ἐννυχίη) Ὡς περ ποιητικευόμενος φησιν, ὅτι πρότερον ἐπὶ γῆς οὖσα τοῖς ἀνθρώποις, διὰ τὰς ἐπιγινομένας νεῶν ἀδικίας, μήτις νεῶν ἐν ἐραννῷ ἔσται τοῖς ἐν τῇ γῇ ἐν νυκτὶ φαίνεται. Ὃ δὲ ἐγγὺς ἐοῦσα, καὶ τοῦθ' ποιητικῶς, ὅτι ἐπειδὴ τῶν ζώντων ἐστὶ φίλη, καὶ γεωργικὴν, καὶ ἀπράγμονα βίον μετιέναι τοὺς ἀνθρώπους, διὰ τοῦτο καὶ ἐγγὺς καὶ βοώτου κατησέρισεν. Πολυσκέπτοιο) Τὸν λίαν λαμπρόν. λίνες δὲ τοῦ Αράτου, ὡς παρεκλείνοντος τὴν μυθολογίαν, κατεμέμψαντο· καὶ ταῦτα ἐν τῷ πρότερῳ μύθῳ ἐχ ὧν πεποιηκότος. καὶ φαμὲν, ὅτι ἐπειδὴ ἐκεῖνος καὶ βλασφημίαν τινὰ εἶχεν, ὁ περὶ τὴν ἄρκτον, καὶ τοῦ Διὸς τοῦ κρονίωνος, ὃς δὲ βιωφελὴς ἐστι, διὰ τοῦτο καὶ παρεξέτεινε.

Τῆς ἦ ῥα ἀμφοτέρων ὤμων εἰλίσσεται ἀχήρ,
Δεξιτερῇ πτέρυγι προπεφυγμένη ἠδ' αὐτε καλῇ.
Τόσσος μὲν μεγέθει, τοίη δ' ἐκέκαστο αἴγλῃ,
Οἷος καὶ μεγάλης ὑρίων ἐπιφαίνεται ἀρχῆς.

Δφνὴ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Δφνὴ γὰρ κείνη, ἀφνοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
Ἀστέρες· οὐκ ἂν τούς γε ἰδὼν ὑπερεκμήραμο,
Οἷός οἱ περὶ ποδῶν φέρε) καλός τε μέγας τε.
Εἷς μὲν ὑπὲρ ὠμαίων, εἷς δ' ἐξύθεν καλιόντων,
Ἄλλος δ' ὑμαίοις ὑπὸ γουνάπιν· ἀλλ' ἄρα πάντες
Ἁπλόοι, ἄλλοθεν ἄλλος ἀνωνυμίη φορέον).

Τῆς ὑπὲρ ἀμφοτέρων) Ἐπειδὴ πολὺς συνέμεινε τῷ μυθικῷ, καὶ δοκεῖ παρεκπεπτωκέναι, διὰ τοῦτο λοιπὸν ἐπαναλαμβάνει, καὶ ἐπὶ τῶν θεωρημένων ἀκρίβειαν ἔρχεται, καὶ ἐπὶ μὲν ἀστέρων ἐν τῷ δεξιῷ ὤμῳ τῆς παρθένου, ὅσοι σφόδρα εἰσὶ λαμπροὶ, καὶ καλεῖται περιτρυγητήρ· περὶ γὰρ τῆς τρυγητοῦ ὥρας ὀλίγον περιανατέλλει. ἐπιτέλλει γὰρ ἡ κεφαλὴ, καὶ οἱ ὦμοι τῆς παρθένου, τοῦ λέοντος. ἄλλο μέν οὖν ἀνατολὴ, καὶ ἄλλο ἐπιτολή. ἀνατολὴ μὲν γάρ ἐστιν ἡ ἐν ζῳδίῳ παντὸς, καθ' ὃ ἐστιν ἡ ἐν ἡλίου ἐπιφάνεια· ἐπιτολὴ δὲ, ἐν ὑπὸ τὸ ζῴδιον. ὅταν γὰρ συναναπέλλῃ ἐπί τινι, ἐπιτέλλειν λέγεται, ὡς τὸ, Πληϊάδων ἀτλαγενάων ἐπιτελλομενάων. αἱ γὰρ πλειάδες, ἐπὶ τοῦ ἐν ταύρου εἰσὶ τομῷ, αἵτινες τοῦ κριοῦ ἐπιτέλλουσι, ὅτε ὁ ἥλιος ἐν τῷ κριῷ ἐστι, κατὰ τὸν ἐν ἀρχῇ, ὅτε πρῶτον ἐν κριοῦ θερίζουσι. τὸ δὲ, ὑπὲρ ἀμφοτέρων ὤμων, ὅπου ὁ ἀστὴρ καὶ τὸ δεξιὸν ἐπιψαύει. Τόσσος μὲν μεγέθη) Ὀλίγος μὲν ἔστος τῷ μεγέθει ἐν τῇ λαμπηδόνι ἐγκειμένου, ὁποῖος ἐν τῷ μεγάλης ἄρκτου τοῦ ἐλίκης φαίνεται ἀπὸ τοῦ ἀρκτου. διδασκαλικῶς γὰρ τοῦτο. ἅμα γὰρ τύπῳ τοῦ μεγέθους ἐδίδαξε, καὶ τεχνικὴν πάνυ δέδωκεν ἀφορμὴν αὐτῷ, ὥστε ἀνελεῖν ἐπὶ τὸ βόρεια, κἀκεῖθεν πάλιν ἄρξασθαι ἄλλων. Δφνὴ γὰρ κείνη) Λαμπρὰ καὶ κείνη ἡ ἄρκτός ἐστι. καὶ Ὁμηρος, Δφνὴν δὲ περὶ κορυφοῖσι φαείνη, Πίληξ βαλλομένη καναχὴν ἔχει· ἡ μόνον δὲ αὕτη, ἀλλὰ καὶ οἱ ἐγγύθεν, ἤγουν πλησίον αὐτῆς περικείμενοι ἀστέρες, ἀνονόμαστοι ὄντες, λαμπροί εἰσι. λέγει δὲ τὰς τοῦ ἄρκτου τὰ ἄρκτα, ἤγουν τὸ ῥυμόν, ἀναπληροῦσας. δφνὴ δὲ, καταπληκτικὴ, ἢ ἀγελαία, διὰ τὸν λαμπρότητα τῶν ἀστέρων· λαμπρὰ γὰρ ἅπασι. Οὐκ ἂν τούς γε) Οὐκ ἄν, φησὶ, τούτους τοὺς ἄρκτου θεασάμενος ἀστέρας, ἕλκι καθοσκοπήσας περὶ τὸ γνωρίσαι αὐτὸν, ἰδὼν γὰρ ἐκείνους δύνῃς ἐγνώρισας. ἐν τὸ γάρ ἐστι τὸ ἐπιτερπόμενο, ἤγουν ἐπὶ τούτοις τοῖς ὀφθεῖσι λαμπροῖς ἄστρασιν, ἐν δεηθήσῃ περὶ τὴν τῆς ἄρκτου καταβλῆψιν σχολῆς. πυκνὸς δὲ τὸ μεγάλης ἀρκτου, τὸ κυνοσούρας, ἤκουσαν. μεγάλη οὖν αὕτη ἡ ἀρκτὸς, ὡς περὶ τῆς ἑλίκης· οἱ γὰρ ἀστέρες ἐκεῖνοι ἀμυδροί εἰσι. καὶ εἰ ἔστω, φησὶ, μεγάλην ἄρκτου ἀρκτὸν, εἶτα οὐ ὑποξοατόν. Οἷός οἱ περὶ ποδῶν) Τὸ οἷος οὐκ εἰκαστικόν, ἀλλὰ ἀναφορικόν· ἤτοι ἔστος οἷος ὁ τοῦ ἐμπεριοδίου. Εἷς μὲν ὑπὲρ ὠμαίων) Περὶ τῶν τῆς παρθένου ἀστέρων διαλέγεται· ὅτι πλησίον τοῦ περιτρυγητῆρός εἰσιν ἀστέρες δύο. εἷς μὲν περὶ τῶν ποδῶν αὐτῆς, εἷς δὲ ὑπὲρ τοὺς ὤμους, εἷς δὲ ἀπὸ τῆς ὀσφύος, εἷς δὲ μεταξὺ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τ̃ ἀρᾶς κὴ τῶν ὀπιθίων γονάτων τ̃ μεγάλης ἄρκ|ου. Ἀπλόοι) Τετάσιν ἀκατονόμαστοί εἰσι, κὴ ἡ συμπληροῦσα τὴν εἰς τύπον ἐξ αὐτῶν. οἱ δὲ, ἠλακάτῳ αὐτὴν λέγουσι. Κόνων δὲ ὁ μαθηματικὸς Πτολεμαίῳ χαριζόμενος, βερονίκης πλόκαμον ἐξ αὐτ̃ καταστέλασε. τ̃το κὴ Καλλίμαχός πού φησιν, Ἡ δὲ Κόνωνι μ' ἔβλεψεν ἐν ἠέρι, τ̃ Βερονίκης βόστρυχον, ὃν κείνη πᾶσιν ἔθηκε θεοῖς. ἢ ἀπλόοι, ἃς ἁπλᾶς πλέκει, ἀφ' τ̃ ἀνώνυμον.

Κραπὶ δέ οἱ δίδυμοι· μέσση δ' ὑπὸ καρκίνος ὀρθή·
Ποσσὶ δ' ὑπ' ἀμφοτέρῃσι λέων ὑπὸ καλὰ φαείνει·
Ἔνθα μιν ἠελίοιο θερείαται εἰσὶ κέλευθοι. (εἶνα,
Αἱ δέ πού ἀσταχύων κενεαὶ "Φαίνον") ἄεσυραι, "φορέσυσαι
Ἠελίῳ τά τε σῶμα τά σφιν θερμέι λέοντι.
Τῆμος κὴ κελάδοντες ἐτησίαι βυρέϊ πόντῳ
Ἀθρόοι ἐμπίπτουσιν· ὁ δὲ πλόος οὐκ ἔτι κώπαις
Ὠκυος· εὐρσαί μοι ἀρέσκοιεν τότε νῆες,
Εἰς ἄεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.

Κραπὶ δέ οἱ δίδυμοι) Εἰς τρία ἀφαιρεῖ τὸν ἄρκτον, καί φησιν, ὅτι τ̃ μὲν κεφαλῆς αὐτῆς ἡ ἀφὴ μετ̃, ἄνω τῶν διδύμων, τὸ δὲ μέσον, τὸ καρκίνου· οἱ δὲ ὄπισθεν πόδες, ἄνω τ̃ λέοντ̃. κὴ ἐπειδὴ ἐδὲν ἴδιόν αὐτῆς τὸ μεταξὺ κὴ τ̃ ζωδιακ̃, ἀπ' αὐτῆς κὴ τὸν ζωδιακὸν διηγεῖται· ἔστι γὰρ πῶπα τὸ ζῴδιον σφόδρα βόρεια. τινὲς καταμεμψάμενοι τὸν Ἄρατον, λέγοντες, ὅτι τρισὶ κήπτα μοιρῶν μόλις ἡ ἀρκ|ος, πῶς ἐπέχει συνεγκόντα μοιρῶν τὸν ἔκπτωσιν, ὡς πρὸς τὰ τρία ζῴδια· καὶ φαμὲν, ὅτι ἀνὰ ὁμαλρόνως κὴ ἰσοταχῶς αἱ σφαιροειδεῖς θέσεις τὰς κινήσεις ἔχουσι· μία γὰρ ἡ πρώτη ἐπιφάνεια τ̃ πᾶσιν ἴση. κὴ ὅτι τ̃τό ἐστιν, ὁ μέγιστος κύκλων ὁ ἰσημερινὸς τ̃ βορείῳ κύκλῳ καταπολύοντι βραδυτέρᾳ, ὁμως κατὰ τὸν σφαιροειδῆ ὁμαλρόνως κινοῦσιν. ὅταν οὖν ἡ ἀρκ|ος ἡ μείζων ἐν τῇ τροφῇ γένηται πρὸς τ̃ ἰσημερινὸν κύκλον, τότε ἄρχεται ὁ ταῦρος ἀνατέλλειν, κὴ πάλιν ἐν πάσῃ τῇ προφορείᾳ ὁμοίως, πρὸ δὲ γένεσις δὲ καθ' ὃ μεσημβρινὸν κύκλον, οὐκ ἀνατέλλει ὁ ταῦρος· ὅτως ἡ σφαιροειδὴς κίνησις, ἡ αὐτὴ δι' ὅλου. Καρκίν|ος) Οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι ἀφ' τ̃ Ἡρακλ̃ τ̃ ἄλλων συνεπιμαχούντων, ὁπότε τὸν ὕδραν ἀνῄρηκε, μόν|ος οὐκ τ̃ λίμνης ἔξ|ος πηδήσας ἔδακεν αὐτόν. καλοῦσι) δὲ αὐτῶν τινὲς ἀστέρες, ὄνοι, ἃς Διόνυσος ἀνήγαγεν ἐπὶ τὰ ἄστρα. Λέων) Ὁ λέων ἔχει ἐπὶ τ̃ καρδίας ἀστέρα, βασιλίσκον λεγόμενον, ὃν οἱ χαλδαῖοι νομίζουσιν ἀρχὴν τ̃ ἡνιόχου· οὗτος δὲ ἡλίᾳ ἐν λέοντι, ὁ νεῖλος ἀναβαίνει. Ἔνθα μιν ἠελίοιο) Ἐζήτη] ἀφ' ποίων

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

αν αἰτίαν ὁ Ἄρατος ἐδήλωσε τὰς θερμοτάτας ἡμέρας ἐν τῷ λέοντι γίνεσθαι, καὶ οὐκ ἐν τῷ καρκίνῳ. ῥητέον οὖν ὅτι, ἴσως μὲν καὶ φυσικῷ τινι λόγῳ καύματα γίνεσθαι ἐν τῷ λέοντι, διὰ τὸ ἐν ἐκείνῳ τῷ καιρῷ ἀνατέλλειν τὸν κύνα· ὃν δὲ Ἄρατον μὴ καθ' ἑνὸς ζωδίου ἀποδεδωκέναι, ἀλλ' ἐπὶ τῶν τριῶν. συμπαίζας γὰρ τοὺς διδύμους, καὶ καρκίνον, καὶ λέοντα, ἐν οἷς συμβαίνει τὰς θερμοτάτας ἡμέρας γίνεσθαι, ἐπήνεγκεν, Ἐνθα μὲν ἠελίοιο θερείαται εἰσι κέλευθοι, τουτέστιν ἐν τοῖς τρισὶ ζωδίοις. εἰ δέ τις ἐρεῖ, καὶ πῶς αὐτὸ ἐξαίρετον τὸ ἡλίου συμβαῖνον, τῇ ἐν τῷ λέοντι πορείᾳ ἀπέδωκεν, ἀλλ' οὐ καὶ τοῖς ἄλλοις, καίτοι ἔδει μᾶλλον τῷ καρκίνῳ; ῥητέον ὅτι τὰ δύο θερινὰ ζῴδια συμπερινόμενα καὶ συμπυρέμενα ὑπὸ τοῦ ἡλίου, τὸ λέοντα θερμὸν ποιεῖ γίνεσθαι· καὶ ἅμα ἤδη ὑπὸ τοῦ θέρους κεκινημένοι οἱ ἄνθρωποι, μᾶλλον ἀναλαμβάνουσι τὸ θερμότητος, ὅταν ὁ ἥλιος ἐν λέοντι ᾖ. ἐν γὰρ ἡμέρᾳ θερινῇ οὐχ ὅτω κατὰ ἕκλιν ὥραν πεσοῦσι τοῦ ἡλίου ἀναλαμβανόμεθα τοῦ καύματος, ὡς κατὰ τὴν ἑβδόμην. ὅτως οὖν ῥητέον καὶ ἐπὶ τοῦ λέοντος. τὰ δὲ λέοντα, οἱ μὲν φασιν, ὅτι ὑπὸ τοῦ Διὸς ἐκρυήθη, διότι τῶν τετραπόδων ἡγεῖται. οἱ δὲ, ὅτι πρῶτος ἆθλος Ἡρακλέους ἐστίν. ἔστι δὲ ὅτος τῶν ἐπιφανῶν ἄστρων. Κενεαὶ φαίνονται) Κεκενωμέναι γάρ εἰσι καρπῶν. αἱ γὰρ πρωτογονίαι διὰ τοῦ ἡλίου ἐκαταρχὰς συνερχομένου τῷ λέοντι. τινὲς δὲ ἐκλιμῶσι γράφειν, ἡλίῳ τε πρῶτα συνερχομένοιο λέοντος, ἀπαιδεύτως· ἐν γὰρ τοῖς ζῴδιοις συνέρχονται, ἀλλ' ὁ ἥλιος ἕκαστον ἐπιπορεύεται. ἄπτεται δὲ καὶ θεολογίας ἐνταῦθα ὁ Ἄρατος, τιμῶν τὴν κόρης ἁρπαγὴν δηλῶν, καὶ τὸ ἐν ἅδου γάμον, ἐν τῷ λέγειν, κενεαὶ ἄρουραι· αὐτὴν γὰρ εἶναι τὴν καρπὸν, καὶ μητέρα τιμῶν γῆν. καὶ γὰρ παρ' αἰγυπτίοις καὶ τὴν ἐπιφάνειαν, ὅτε ἐν λέοντι γίνεται ὁ ἥλιος, ἡ τῆς κόρης ἁρπαγὴ τελεῖται. Τῆμος δὲ κελάδοντες) Τότε, φησὶ, καὶ κελάδοντες ἄνεμοι ἐμπίπτουσιν ἐν τῷ πόντῳ, ὅτε ὁ ἥλιός ἐστιν ἐν τῷ λέοντι, καὶ παρ' αἰγυπτίοις αἱ κλεῖδες τῶν ἱερῶν λεόντων φέρουσι πρόσωπα, καὶ τὸ χημάτου ἀλύσεις ἀπηώρηται), καρδίαν ἐξηρτημένον ἔχουσιν. ὅλον δὲ τὸ ἄστρον ἀφιερώκασιν ἡλίῳ· τότε γὰρ ἐμβαίνει καὶ ὁ νεῖλος, καὶ ἡ τοῦ κυνὸς ἐπιτολὴ καὶ ἑνδεκάτην ὥραν φαίνεται, καὶ ταύτην ἄρχειν ἔτους πέντε, καὶ τῆς ἴσιδος ἱερὸν εἶναι τὸν κύνα λέγουσι, καὶ τὴν ἐπιτολὴν αὐτοῦ· ἐφ' ἣν καὶ τὸν ὄρτυγα θύουσι, τοῦ παλιρροῦ τούτου καὶ ζώου σημειούμενοι τὸν καιρὸν τῆς ἐπιτολῆς τοῦ ἄστρου. Ἐτησίαι) Οἱ ἐτησίαι ἀπὸ τοῦ κυνὸς ἕως ἐπιτολῆς ὡς ἐπὶ πολὺ πνέουσι ἡμέρας πνέουσιν. ὠνομάσθησαν δὲ ὅτως, ἢ ὅτι κατ' ἔτος πνέουσι τοῖς πανταῖς αὐτῶν ἡμέραις ἀφ' ἑνὸς ἔτους· ἢ ἀφ' οὗ ἐτέον, διὰ τὸ μηδέποτε μεταβάλλειν αὐτοὺς, ὅταν ὁ καιρὸς αὐτῶν συνέχῃ. καλῶς δὲ τὰ μεγάλα σκάφη τότε χρήσιμα, τότε γὰρ τὸ κῦμα μέγα, καὶ τὸ πνεῦμα σφοδρόν. παρηκολούθησε δὲ Ἡσιόδῳ, Νῆ ὀλίγῳ αἰνεῖν, μεγάλῃ δ' ἐν φορτίᾳ θέσθαι. Εἰς ἄνεμον δὲ τὰ πηδὰ) Καὶ συνήθειαν τὰ πηδάλια, ἦγον τοὺς κώπας, ἀπὸ τοῦ πηδῶ. καὶ Ὁμήρος, Ἀνερρίπτουν ἅλα πηδῷ.

Εἰ

Εἰ δέ τοι ἡνίοχόν τε καὶ ἀστέρας ἡνιόχοιο
Σκέπλεο, δοκέοι κ' αἴτοι φάτις ἦλυθεν αὐτῆς
Αὐτῆς ἡ δ' ἐείφων, οἵτ' Ἐν ἀλὶ πορφυρέῃσι
Πολλάκις ἐσκέφαντο κεδαιομένους ἀνθρώπους,
Αὐτὸν μὲν μιν ἄπαστα μέγα διδύμων ὑπὲ λαιᾶς
Κεκλιμένον δήεις· ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Αντία διδύμῃ· σκαιῇ δ' ἐπελήλαται ὦμῳ
Αἴξ ἱερή, τὴν μέν τε λίγης Διὶ μαζὸν ὀπάσσαι·
Ωλενίῃ δέ μιν αἶγα Διὸς καλέουσ' ὀσσοφῆες.
Αλλ' ἡ μέν, πολλῆς ἀγλαΐ' οἱ δέ οἱ αὐτῷ
Λεπταὶ φαείνονται ἐείφοι καρπὸν ὑπ' ὀφρύς.

Εἰ δέτοι ἡνίοχόν τε) Επανῆλθεν ἀπὸ τῦ ζωδιακῦ πάλιν ἐπὶ τὰ βόρεια. τὸ δὲ ἀστέρας, διδασκαλικῶς· τρεῖς γὰρ ἔχει ἐν τῇ χλαμύδι, ὧν ὁ μὲν ὑπὸ τὸν ὦμον σφόδρα ἐστὶ λαμπρὸς, καὶ καλεῖται αἴξ, οἱ δὲ ἄλλοι δύο ἐφεξῆς, ἀμαυρότεροι, οἳ καλοῦνται ἔριφοι. καὶ χαλεπώτατον τὸν ἐπὶ λαμπρῶτον ὡς ἐπὶ μητρὸς, αἶγα εἶπε· τοὺς δ' ἀμυδροτέρους, ἐρίφους ὡς νεογνά. ὁ δὲ μῦθος ἔστως ἔχει, ὅτι ἡ αἴξ αὕτη γυνὴ ἦν δρκαδικὴ, ἥτις ἀνέθρεψε τὸν Δία. καί φασιν ὅτι μὴ θάνατον λαβὼν αὐτῆς τὸ δέρμα, καὶ τὴν σωτείλησιν περιέθετο, καὶ αὐτὴν κατησέρισε, διὸ αἴγιδ κικλήσκεται ἀνθρώποισι. ταύτην δὲ καλοῦσι καὶ ἀμάλθειαν. Πορφυρέῃσι) Μελαγκομένῃ, κινεμένῃ γὰρ ὑπὸ τῶν ἀνέμων, τουτέστι πιεζομένῃ τὴν ὄψιν. τὸ δὲ, κεδαιομένους, ἀντὶ τῦ φθειρομένους. χρᾶται δὲ φθειρομένους, ἀντὶ τῦ κερματιζομένους· ἡ γὰρ ἐφ' ἅμα δύσις τῦ ἑπτὰ φῶν, χειμῶνα φέρει, ἡλίκα ἑξότιον διανύουσι. ἡ δὲ αἴξ ἴσως ἐφ' ἅμαν ποιεῖ δύσιν, ἡλίκα ὄντος ἐν αἰγοκέρωτι, ὡσεὶ ὡς χειμερινὰς τροπάς. Διδύμων ἐπὶ λαιᾶ) Ο γὰρ ἡνίοχος βορειότερός ἐστι τῶν διδύμων, ὥστε ἀνατελλόντων διδύμων καὶ τὰ πόδας, τὰ δυώνυμα μέρη ὁρίζειν αὐτῶν ὡς βορρᾶν. Ἐπὶ τῦτο τὸ ἡνίοχον καὶ κεφαλὴν ἀνατέλλοντα ὡσαύτως τοῖς δυωνύμοις μέρεσι τῶν διδύμων. Κεκλιμένον) Σφόδρα ὁ Αρατος ἀκριβῶς τῷ ζωδιακῷ καὶ θέσιν φησὶ τὸ κεκλιμένον· ὀ γάρ ἐστιν ἐξορθόν, ἀλλ' ὡσανεὶ ἐπινεύων τὸ ὡς τὸ ἐλαύνειν ἐπιζήμιον. Ελίκης δέ οἱ) Πληθυντικῷ ἐχρήσατο ἀντὶ ἑνικῦ, ἀντὶ τῦ ἡ κεφαλὴ αὐτῦ ἀντία διδύμῃ. ἱερὴ δὲ, ὅτι τὸν Δία ἐθήλασεν. οἱ δὲ μυθολόγοι τὸν ἡνίοχον λέγουσιν εἶναι εἴδωλον, ἢ Βελλεροφόντου, ἢ Τροχίλου τῆς Καλλιθέας παιδὸς τὸν ὡσαύτως ἐν Αργοῖ γενομένης ἱερείας, ἅρμα ὡσαύτου ξυξάντος. ἄλλοι

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δὲ, Μυρτίλε· οἱ δὲ, Κέλαντος τὸν Πέλοπος ἡνίοχον εἶπον· οἱ δὲ, Οἰνομάε. τὸν δὲ Ἀμαλθείαν αἶγα Νίκανδρος Διὸς τροφὸν φησι. φαίη δ' ἄν τις ἀτεχνῶς εἰδώλον, τὰς περὶ θεῶν ταῦτα ληροῦντας. Ωλενίλω) Ωλενίλω λέγεται, ἀφ' ὃ ἐπὶ τῆς ὠλένης τὸν ἡνίοχε· ἢ ὡς ἄλλοι, Ολένε θυγάτηρ.

Παρ ποσὶ δ' ἡνιόχυ κεραὸν πεπτηότα ταῦρον
Μαίεσθαι, τὰ δέ οἱ μάλ' ἐοικότα σήματα κεῖται.
Τοίη οἱ κεφαλὴ δρακέκριται· οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσι.
Καὶ λίην κείνων ὄνομ' εἶρεται· οὐδέ τοι αὖτας
Νήκουσοι ὑάδες, ταὶ μὴ ῥ' ὅτι πολλὸν μετώπῳ
Ταύρου βεβλέαται· λαιὸν δὲ κεραάτος ἄκρον,
Καὶ πόδα δεξιτερὸν ὀδρακείμενον ἡνιόχοιο,
Εἷς ἀστὴρ ἐπέχει· σὺν ἑλικλάδμενοι δὲ φέρονται.
Ἀλλ' ἀεὶ ταῦρος προφερέστερος ἡνιόχοιο
Εἰς ἑτέρην καταβαίνει, ὁμηλικίην περ ἐόντων.

Παρ ποσὶ δ' ἡνιόχου) Πάλιν ἐγνωσμένως ἀπὸ τῶν ὠδρακηλιθουότων εἰς τὸ ζωδιακὸν καταέρχεται. κεραὸν δὲ, ἀφ' τὴν τῶν κεράτων θέσιν. τὸ δὲ πεπτηότα, ἀφ' τὸ ποιὸν καπίσημα· ὡς ποῦ γὰρ ὀκλάσας ἐστὶν, ἡμίθυμος δὲ, τὰς ὀπισθίας οὐκ ἔχων πόδας. ἔθεν δὲ, οἱ μὲν, τὸν τὴν Εὐρώπην ἁρπαρθμεύσαντα ὑπὸ φοινίκης εἰς κρήτην ἀφ' τῶν πιλάζας κατηστερίσθαι φασίν· οἱ δὲ τοῦθον, ὃν Πασιφάη ἠράσθη· οἱ δὲ τὸν ὑπὸ κρήτης εἰς μαραθῶνα πιεραγχύμενον, ὃν Θησεὺς κατηγωνίσατο. τὸ δὲ μαίεσθαι, ἐπισκοπεῖν, ἐπιζητεῖν. ὑάδες δὲ, ὠδρακίδες εἰσὶ τῶν ἡνιόχε ὑπερτεπτωκότα ζήτει τὸν ταῦρον· τὸ δὲ ἐοικότα, ὁμοῖα· οἱ γὰρ ἀστέρες αὐτῶν, βάκραιον ἀληθῶς ἀφαιρέσει, ὃ διὰ τοῦτό εἰσι γνώσιμοι, ὑδρενὸς τῶν γλυνιόντων ποθὸς καταιόησιν δεόμενοι, ὡς ὁ κριὸς ἀμυδρὸς ὢν, ὑπ' ἄλλων δύσκριτος). Τοίη οἱ κεφαλὴ) Θαυμασικῶς τὸ τοίη, ἀντὶ τοῦ τοιαύτη κεφαλὴ ἐκλαμπρῶς ὑποφαίνει) ὃ ἐκκεκλίσθαι ἐστὶ· ὃ οὐκ ἂν τις ἐξ ἄλλου τεκμήραιτο ἐπισκέψαιτο τὴν τοῦ ταύρου κεφαλὴν, ἀλλ' ὑπὸ τῶν τὸ ὠδρωπον ἀποτελούντων ἀστέρων. Ἀστέρες) Ἐκ τῶν δύο γραμμῶν ΒΥ. στοιχείου· αἱ γὰρ ὑάδες τοῦτο τὸ στοιχεῖον ἀπομιμοῦνται, τὸ ταύρειον ἀπο-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἀποτελῶσι πρόσωπον. τινὲς μὲν οὖν φασιν, ὅτι διὰ τοῦτο τὰς ὑάδας εἶπεν· οἱ δὲ, ὅτι δυόμμα αἰτίαν ὑετοῦ γίνονται. Καὶ λίθῳ κείνων) Οὐκ ἀνωνύμως, φησὶ, φέρονται αἱ ὑάδες ἐν τῷ μετώπῳ τοῦ ταύρου. Θαλῆς μὲν οὖν δύο αὐτὰς εἶπεν εἶναι, τὴν μὲν, βόρειον· τὴν δὲ, νότιον. Εὐριπίδης δὲ, ἐν τῷ Φαέθοντι τρεῖς. Ἀρχιλοχος δὲ, πλείους. Ἱππίας δὲ ὁ Φερεκύδης, ζ'. ἡ δὲ προσωνυμία ἐστὶν, ὅτι τὸν Διόνυσον ἀνεθρέψαντο. Υἱὸς δὲ ὁ Διόνυσος Εὐφορίων, Υἱὴ ταυροκέρωτι Διωνύσῳ κατέσασα. οἱ μὲν οὖν δύο λέγοντες, τὴν ἐπὶ τῶν ὀφθαλμῶν τοῦ ταύρου φασίν· οἱ δὲ τρεῖς, προσλαμβάνουσι καὶ τὴν ἐπὶ τῷ χειλίῳ. Εὐριπίδης μὲν οὖν ἐν Ερεχθεῖ, τὰς Ερεχθέως θυγατέρας ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας. ὁ δὲ Μυρτίλος, τοῦ Κάδμου θυγατέρας· κληθείσας δὲ οὕτως, διὰ τὸ ὑπομνῆσαι αἰτίαν. Ησίοδος δέ φησι περὶ αὐτῶν, Νύμφαι χαρίτεσσιν ὁμοῖαι, Φασύλη, ἠδὲ Κορωνὶς, εὐστέφανός τε Κλέεια, Φαιώ θ' ἱμερόεσσα, καὶ Εὐδώρη τανύπεπλος· Ας ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

Λαιοῦ δὲ κεράτος) Τὸ δὲ ἄκρον τοῦ ἀριστεροῦ κέρατος τοῦ ταύρου, καὶ τὸν ἀριστερὸν πόδα τοῦ ἡνιόχου, εἰς ἀστὴρ ἐπέχει. συνελήλαμμοι δὲ, ἤγουν συνηρμοσμένοι φέρονται. ἀνεβιβάσθη δὲ ὁ τόνος, ἀναγρεφέντος τοῦ σ. ὡς ἐπάμμοι. Αλλ' αἰεὶ ταῦρος) Τάχιον δύνει ὁ ταῦρος, ἐπεὶ νοπώτερός ἐστι τοῦ ἡνιόχου· καὶ δὲ νότια πολέον ὑπὸ γῆν μέρος ἔχει, καὶ ὅλως τὰ ἐπὶ διαφόρων παραλλήλων κύκλων ἄστρα τὰς ἀνατολὰς ἅμα ποιησάμενα, ἐχ ἅμα δύνει· τὸ γὰρ βορειότερον κατὰ μείζονος κύκλου φερόμενον, ὑστερεῖται τῷ χρόνῳ τῆ δύσει· τὸ δὲ νοπώτερον κατενεχθήσεται, ὡς ἂν ἐλάσσονα κύκλον φερόμενον. ἀκουστέον δὲ συναναπέμπει τῷ ταύρῳ τὸν ἡνίοχον, ἐχ ὅλον ὅλως· τρεπὰ γὰρ ψεῦδος· ἀλλ' ὅσα τῶν μερῶν συναναπέμπει, ταῦτα συγκαταδύνει), διὰ τὴν ἔγκλισιν τοῦ ἤσυχα, καὶ ὡς ὁμοῦ ἀνελθών. λέγει δὲ, ὅτι ὁ ταῦρος σὺν τῷ ἡνιόχῳ ἀναπέμπει ὁμοῦ, πρότερον δύνει. τὸ δὲ πρόφερέστερος, ἀντὶ τοῦ κρείττων. ὡς καὶ δὲ ὁ ποιητὴς διὰ κατὰ φυσικὴν αἰτίαν εἰωθότα γίνεσθαι, ὡς ἂν προδόξῳ λαμβάνει, καὶ ὡς καινότερα αὐτὰ καὶ ἀδύναστα, ἅτε καὶ ὁ Αρατος ἐπὶ τοῦ ταύρου καὶ ἡνιόχου φησὶν, ὅτι ὁ ταῦρος τοῦ καινότερον καὶ ἄμεινον ἔχει· συναναπέμπων γὰρ τῷ ἡνιόχῳ, πρότερον αὐτὸν δύνει. Ὁ δὲ ὁμηλυσίη, ἀντὶ τοῦ ἅμα καὶ ταὐτό. τὸ δὲ αἴτιον, ὅτι τὰ βόρεια ἢ ὅλως ἐ δύεται, ἢ καταδύεται· οἷον, ἄρκτοι ὅλως οὐ δύουσιν, ὁ δὲ κηφεὺς καταδύεται, ὅσον αὐτοῦ ἐστὶν ἐν τῷ νοτίῳ· ὁ δὲ ἡνίοχος, βραδέως δύνει, ὡς καὶ ὁ ὑποκείμενος αὐτῷ νοπώτερος ζῴδιον.

Οὐδ' ἄρα Κηφῆος μογερὸν γένος ἀσίδαο
Αὔτως ἄῤῥητον κατακείσεται, ἀλλ' ἄρα καὶ τῶν
Οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἧεν,
Αὖτις μὴ κατόπισθεν ἐὼν κυνοσούριος ἄρκτου

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Κηφεύς, ἀμφοτέρας χεῖρας τεμνόντι ἐοικώς·
Ἰσον οἱ σάθμη νεάτης ἀποτείνεται ὀρῆς,
Ἐς πόδας ἀμφοτέρους, ὅσον ποδὸς ἐς πόδα τείνει.

Οὐδ' ἄρα Κηφῆα) Πάλιν ἔως τοῦ ζωδιακοῦ ἐλθών, καὶ διελέξας τὰ περὶ τὸν ταῦρον, ἀνέδραμεν ἐπὶ τὰ λειπόμενα τοῦ βορείου. πάλιν δέ, ὅτε τὸν Κηφέα ἀφ' ἑαυτοῦ διδύσκει, ἀλλ' ὡς τοῦ φθίσαντα ἀφ' ὧν ἐγνωσμένων, ἔτι καὶ τότε ἀφ' ὧν ἤδη γνωθείσης τῆς κυνοσούρας ἄρκτου. τὸ δὲ μεγερδῶν, ἀφ' ὧν συμβᾶσαν συμφοράν, ἐν τῷ οἴκῳ αὐτοῦ χάριν Κασσιεπείας· αὕτη γὰρ ἤρισε ταῖς νηρηΐσι περὶ κάλλους· αἱ δὲ ὀργισθεῖσαι, κῆτος ἐπαφῆκαν τῇ οἰκουμένῃ. ἔχρησε δὲ ὁ θεὸς, εἰ μὴ ταύτης θυγάτηρ Ἀνδρομέδη προβληθείη τῷ κήτει, μὴ παύσασθαι. ἡ δὲ ἐξετέθη. περιὼν δὲ ὁ Περσεὺς, ἔσωσε τῇ μητρὶ τὴν Ἀνδρομέδαν. πίνακα οὖν κατηστερίσθησαν. τὸν δὲ ἀπολωσάντα τὰς χεῖρας, ὡς τοῦ ὑπομνήματα τοῦ πάθους φέροντα. ἰασίδην δέ, τὸν Κηφέα εἶπε, ἀφ' οὗ ἔχει τὸ μητρὸς ἀπὸ Ἰνάχου· ἢ ἀπὸ μητρὸς αὐτὸν κατωνόμασεν· ἀμάρτηται γὰρ ὁ Κηφεὺς Ἰάσου, ἀλλ' Ἰοῦς τοῦ Ἰνάχου. Ἰασίδαο οὖν, ὡς υἱὸς Ἰοῦς. Ἰοῦς δὲ Ἐπαφου, τοῦ Λιβύης, τῆς Βήλου, τοῦ Ἀγήνορος, τοῦ Κηφεύς. Οὐρανὸν εἰς ὄνομ' ἦλθεν) Ἐπειδὴ δοκοῦσιν οἱ βασιλεῖς ἀπὸ Διὸς ἔχειν τὸ γένος. ἢ εἰς τὸν οὐρανὸν ἔφασεν ὁ Κηφεύς, ἐπειδὴ ἀπῆρεν ὡς Διός. ἐτάρην δὲ αὐτοῦ ἡ Ἰώ. Ἴσον δὲ, εὐθεῖα φησίν, ἡ ἀφ' ὑμετέρου ἀπὸ τῆς ἀρκτου ἕως τῶν ποδῶν τοῦ Κηφέως ἀμφοτέρων· καὶ ὅσον ἀπὸ ποδὸς ἐς πόδα τείνει, τόσον ὅσον ἀπέχουσιν ἑαυτῶν οἱ πόδες ἀπ' ἀλλήλων, τοσοῦτον ἀπέχει τῆς ἄρκτου ἡ ἀρὰ ἑκατέρου τῶν ποδῶν τοῦ Κηφέως. σάθμη δὲ, ἡ εὐθεῖα γραμμή. νεάτης δὲ ἀρᾶς, τῆς κυνοσούρας ἄρκτου. τὸ δὲ πᾶν, ἀπὸ ἄκρας τῆς ἀρᾶς, εὐθεῖά τις γραμμὴ φέρεται εἰς ἑκάτερον πόδα τοῦ Κηφέως, τοσοῦτον ἀπέχουσα ἀφεστηκυῖα, ὅσον καὶ ἀπὸ τοῦ ποδὸς τοῦ Κηφέως ἐπὶ τὸν ἄλλον πόδα· ὡς εἶναι τὸ μέγεθος τριγώνου ἰσοσκελοῦς, ἀπὸ τῆς ἀρᾶς εἰς τοὺς δύο πόδας, καὶ τὸ τῶν δύο ποδῶν αὐτοῦ ἀφεστηκυῖα.

Αὐτὰρ ἀπὸ ζωνῆς ὀλίγον κε μεταβλέψας,
Πρώτιον ἑλμὸς καρπὸν μεγάλοιο δράκοντος -της -πῆς
Τοῦ δ' ἄρα δαιμονίη περικυλίνδεται ἁμάλῃ πολλῇ,
Νυκτὶ φαεινομένῃ παμμιῶϊδι καστερόεσσα·
Οὐ γὰρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γεμόωσιν
Ἀστέρες, οἵ μιν πᾶσι περιῤῥήδην ἐίσχουσιν.

Οἷον

Οἷῳ δὲ κληῖδι θύρῃω ἔνποδ' ἀερρῦψῃ
Δικλίδ' ὑπιπλήσοντες ἀνακρύοισιν ὀχῆες,
Τοῖόν τοι μουνάξ ἐστ' ὀχείμενοι ἀνδάλλον) τῇ οἱ οἱ τιθῆτι
Ἀστέρες· ἡ δ' αὖτως ὀλίζων ἀποτείνε) ὤμων αὐτῶν
Ὀργυιὰ· φαίης κεν διιάζειν ὑπὸ παιδί.

Αὐτὰρ ἀπὸ ζώνης) Ἐπεὶ ἡ τοῦ Κηφέως ζώνη ἀμυδρά ἐστιν, ὡς τοῦ ὠφελκεμβρίου δὴ δράκοντος διδύσκει. ὁ δὲ νῶτος, κάτω δὲ τῆς τοῦ κηφέως ζώνης ὀλίγον ἱέμενος καὶ ἐπισκοπήσας, βλέψας τὴν δράκοντος ἀφτίδων καμπήν, ὅ ἐστι τὴν ἀπὸ τῆς κεφαλῆς τοῦ δράκοντος κύκλωσιν. Τοῦ δ' ἄρα δαμηθείη) Ἀνατολικώτερον ἀφθήσεται· τὸ γὰρ ἀφελκυλίνδε) τοῦτο σημαίνει, οὐ τὸ ἀχημάτως κεῖσθαι· ὠλατεῖα γὰρ καὶ ἑκάτερον. ἔνιοι δὲ νομίζουσιν ἠγνοηκέναι τὸν Ἄρατον, ὅτι ἡ καστιέπεια ἐπαναπαύεται τῷ κηφεῖ καὶ ἐπικαταδύεται, μὴ νοήσαντες ὅτι ἕδος ἐστὶ τῷ ποιητῇ τὴν ἀνατολὴν ἀφότερον καλεῖν. τὸ οὖν ἀφελκυλίνδεται, σημαίνει ὅτι ἡ καστιέπεια ἀνατολικωτέρα τοῦ κηφέως. τὸ δὲ δαμηθείη, ἤγουν καθαιμένων, ἀφὰ τὰ φαινόμενα καὶ συμβάντα αὐτῇ· ἡ μακαρία, ἀφὰ τὸ ἐν θεοῖς εἶναι. Οὐ μάλα πολλὴ) Καὶ γὰρ μικρὸν ἐπέχει τοῦ οὐρανοῦ τόπον, ὃ ἀεὶ πάντη ἐν νυκτὶ παντελεῖ λαμπρὰ φαίνεται· ἀ γὰρ πολλοὶ λαμπρύνουσιν ἀστέρες.

Οὐ γάρ μιν πολλοὶ) Ἡ καστιέπεια ἀστέρας ἔχει ἐπὶ τοῦ σώματος ἐν ἀφασήματος ἀλλήλων, κατ' οὐρεῖαν ὡς ἔλιξα κεφαλάς, ὧν ὁ βορειότατος, ἐπὶ τῆς καθέδρας ἐστίν· ὁ δὲ νοτιώτατος ἐπὶ τῆς κεφαλῆς. οἱ δὲ τούτου μεταξὺ δύο, τὸ τῆς λακωνικῆς δικλίδος σχῆμα ποιοῦντες· ὧν τὸ μὲν ἐν γραμμῇ ἐστι· τὸ δὲ πλάγιον, πρὸ γόνατος. Οἷῳ δὲ κληῖδι) Τῷ ἔνδοθεν ἁρμοσμένῳ εἶναι τὴν κλεῖν ἀρχαϊκῶς· ἐ γὰρ ὡς νῦν ἐκτός εἰσιν αἱ κλεῖδες, ἀλλ' ἔνδοθεν τὸ παλαιὸν ὠφελὰ αἰγυπτίοις καὶ λάκωσι. καὶ Ὅμηρος οἶδε τὸ τοιοῦτον, ὅπ ἔσωθεν τὰ θυρώματα καθακλείοντες, ἐν οἷς φησι, Κληῖδι θύρη ἀνέκοπτεν ὀχῆα. ἔστιν δὲ ἡ καστιέπεια οὐχὶ πᾶσα φανερά, ἀλλ' ὡς κλῃδὸς ἔχουσα σχῆμα· καὶ οἱ ἀστέρες δὲ, οὐκ ἀθρόοι τὸ σῶμα ἀποτελοῦσιν, ἀλλ' οἱ μὲν πλάγιοι τὰς χεῖρας ἐκτεταμένας· οἱ δὲ κατωτέρω, ἅμα καὶ πόδας καὶ τὴν καθέδραν, ὡς δικλίδα. τὸ δικλίδα δὲ, σημαίνει ἂν καὶ τὸ δίθυρον. ὃ δὲ μουνάξ, εἷς ἐφ' ἕνα, οὐχ ἅμα πολλοὶ ὀλίγων τῶν ἀμυδρῶν ὄντων. Ἡ δ' αὖτως) Ἡ δὲ καστιέπεια ἀποτεταμένας ἔχει τὰς χεῖρας εἰς ὀργυιάν· ἐχημάτισεν γὰρ ὡσανεὶ στερνοκτυπουμένη. καὶ εἴποις ἂν αὐτὴν ἐν τῷ τοιῷδε σχήματι ὡσανεὶ ἐπανιᾶσαν τῷ παιδὶ καὶ λυπεῖσθαι.

Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδε) αἰνὸν ἄγαλμα· (οἷῳ
Ἀνδρομέδης ἐπὶ μητρὶ κεκασμένον, ὅ σε μάλ'
Νύκτα

Νύκτα παρισκέψαθαι, ἵν' αὐλίκα μᾶλλον ἴδηαι.
Τοίη "ἡ κεφαλὴ, τοῖοι δὲ οἱ ἀμφοτεροθεν "οἱ
Ὦμοι, ἠ πόδες ἀκρόκατοι, ἠ ζώματα πολλά.
Αλλ' ἔμπης καὶκεῖθι διωλενίη τετάνυσαι·
Δεσμὰ δέ οἱ κεῖται ἠ ὑπ' ἀγκῶνα. αἱ δ' ἀνέχουσι,
Αὐτοῦ πεπαμμέναι πολύτ' ἴματα χεῖρες ἐκεῖναι.

Αὐτοῦ γὰρ κἀκεῖνο) Τὸ χαλεποῖς πάθεσιν ὑποπεπτωκός. Κεκαρσμένον) Διατετυπωμένον. τὸ δὲ κυλίνδεται, πάλιν τῷ θέσιν ποθὲς τὸν συμφοράν. τὸ δὲ ἄγαλμα, ἤγουν κατασχηματικῶς τὸ εἴδωλον· ἢ διότι κατηστέλεκται μὴ παντὸς ἐγγυμνικέως κόσμου, ἠ ὡσανεὶ κεκοσμημένον· ἢ κεκαρσμένον, οἱονεὶ κεχωρισμένον· ἐ γὰρ πάνυ τολμηρὸν αὐτῆς ἐστί. ἁράφεται ἠ κεκαυσμένον, ἵν' ἢ τεθρυμμένον. τὸ δὲ ὑπὸ μητρὶ, ὡς ποθὲς σύγκρισιν τῆς μητρός. κεῖται δὲ ἐν τοῖς ἄστροις ἡ Ανδρομέδη, ἀφ' ὧν τῶν Αἰθιόπων, τῶν Περσέως ἀπόγονων ὑπόδειγμα· ἔχει δὲ αὐτὴ τὰς χεῖρας ἐκτεταμένας, ὡς ποθετέθη τῷ κήτει. Οὔ σε μάλ' οἴω) Ονεῖδος ἔστος· ἐδαμῶς δέ σε ὑπολαμβάνω νύκτα ἐπιτηρῆσαι ἀστέλλουσαν, ἵν' δύσιν ὀπτεύσῃ τὴν Ανδρομέδην θεάσῃ· ἐ γὰρ αὐτόθι λαμπροτάτη ἔσται, ἐ ἐν παμμιλίοις νυκτὶ φαίνει. τὰ δὲ ζώματα, ἡμάπια· διωλενίη δὲ, ἐκτεταμένας ἔχουσα τὰς χεῖρας.

Αλλ' ἀγαθοί οἱ ἐν κραναὶ πέλωρ ἐπελήλαται) ἵππος
Γαστέρι φαίνῃ· ξυνὸς δ' ὁπαλάμπεται) ἀστὴρ,
Τοῦ μὲν, ἐπ' ὀμφαλίῳ τ' δ', ἑκατόωνυξι καρήνῳ.
Οἱ δ' ἀρ' ἔπι τρεῖς ἄλλοι ὑπὸ πλευρᾶς τε ἐν ὤμους
Ἱππου δ' ἀφηνιόωσι δεξιτερὸν ἴσα πέλεθρα,
Καλοὶ ἐν μεγάλοι· κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
Οὐδ' αὐχενι, δολιχὸς γὰρ ἐών. ἀτὰρ ἕκατος ἀστὴρ
Αἰθομένης φλυὸς καί κεν περτέρσις ἐείσαι
Τέτρασιν, οἳ μιν ἔχουσι πεδίσκεπτοι μάλ' ἐόντες·
Οὐδ' ὅγε τετράπος ἐστὶν· ἀπ' ὀμφαλίοιο γὰρ ἄκρου

Μεσο-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Μεσσόθεν ἡμιτελὴς προτέλλει ἱερὸς ἵππος.
Κρῖον δή ῥα φασὶ καθ' ὑψηλοῦ ἑλικῶνος
Καλὸν ὕδωρ ἀγαπεῖν βαλδέος ἵππον ἐρίφους·
Οὐ γὰρ τὸν ἑλικὼν ἄκρος καλελείβετο πηγαῖς,
Ἀλλ' ἵππος μιν ἔτυψε· τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
Ἐξέχυτο πληγῇ προτέρου ποδός. οἱ δὲ νομῆες
Πρῶτοι κεῖνο ποτὸν διεφήμισαν ἵππον ἐρίφους.
Ἀλλά τὸ μέν, πέτρης ἀπολείβει, οὐδέποτ' αὖθι
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι. αὐτὰρ ὁ ἵππος
Εἰδόμενος εἰλαῖ.

Ἀλλ' ἄρα οἱ καὶ κρατὶ) Πάλιν ἀπὸ τῆς Ἀνδρομέδης διδύσκει τὸν πήγασον, ὃς ἐστιν ἡμίτομος κατὰ τὴν σπειγμὸν, ἐπὶ τῷ κεφαλῷ τῆς Ἀνδρομέδης κείμενος. πέλωρ δὲ, ἤτοι ἀπὸ τοῦ τρομάτου τὸν ὅλον ἀναλογιζόμενος, ἢ ἀφ' τὸ λαμπρὸς ἔχειν τοὺς ἀστέρας. ἡμιτελὴς δέ ἐστιν, ὡσπερεὶ ἐμπεφοδιασμένα φαίνων ἄχρι τοῦ ὀφθαλμοῦ. οἱ μὲν οὖν αὐτὸν φασιν εἶναι τὸν κολάψαντα τῷ κρούσῳ ἐν τῷ ἑλικῶνι· ὃ δὴ ὕδωρ ἀπὸ τῆς γῆς ῥεῖ. καὶ ἐδέποτε τοῦτο ὄψῃ σκιδὸς τῷ θέσπειαν οἰκούντων. ἀπὸ τὰς ὑπωρείας γὰρ τοῦ ἑλικῶνος ἡ θέσπεια κεῖται· ἐν δὲ ταῖς ὑπωρείαις ἡ κρήνη ἐστί. καλεῖται δὲ ἕκτως ἰδίως αὕτη ἡ πηγὴ, κρούσις, ἱερὸς δὲ ὁ ἵππος, ἤτοι ὅτι κατηστέρισεν, ἢ ὅτι ὁ Ποσειδῶν αὐτὸν ἐγέννησεν· ἢ ὅτι βροντὴν καὶ ἀστραπὴν τρέφει, καθὸ ἐμφερής ἐστι τῷ Διί. ἐλήφθη δὲ τῷ ἱστορίαν παρὰ Ἡσιόδου. διό φησιν, οἱ νομῆς πρῶτοι ἐκεῖνο τὸ ποτὸν κρούσιν ὠνόμασαν. μαστὶ δὲ νεφέλῃ, τῇ ἡμιτόμῳ μαστί· ἐπιψαύει γὰρ τῆς Ἀνδρομέδης εἰς ἀστὴρ, ὃς Ἀφροδίτης τῆς τε Ἀνδρομέδης τῷ κεφαλῷ, καὶ τὴν τοῦ ἵππου ἡμίτομον μαστέρα. Οἱ δ' ἄρ' ἔπι τρεῖς ἄλλοι) Ἡ ἔννοια αὕτη ἐστὶν, εἰσὶ δὲ ἄλλοι τρεῖς ἀστέρες, οἵ πινες ἴσον ἔχοντες ἀφέσημα πρὸς τὸν εἰρημένον ἀστέρα, τετράγωνον ἰσόπλευρον ἀποτελοῦσι, καὶ τὸ εἰκονισμὸν τοῦ ἵππου δύσημον ποιοῦσι, λαμπροὶ ὄντες. καλοὶ καὶ μεγάλοι δὲ, κατὰ τὸ φῶς· ἀμυδροί εἰσιν οἱ ἐκεῖσε ἀστέρες. τὸ δὲ δολιχὸς, τοῦτο δηλοῖ, ὅτι, καί τοι ἐπιμήκης ὢν ὁ αὐχὴν τοῦ ἵππου, ἀλλ' ὅμως ἔχει ὁμοίως ἀστέρας ἔχοντας ἐπὶ τῆς πλευρᾶς, ὅτ' αὐτὸς ὅθ' ἡ κεφαλή· ἀμυδροὶ γάρ εἰσιν οἱ ἐκεῖσε ἀστέρες. Ὁμηρος δὲ τοὺς ἵππους ἐλαυνομένους καλεῖ. τὸ δὲ αἰθομένης χύσιν, ὅτι ἐπ' ἄκραν τὴν χύσιν ἀστέρα ἔχει, ὃς τοῖς πρωθειρημένοις τέτρασιν ἀστράσιν, ἴσος ἐστὶ κατὰ τὸ φῶς. ἡμιτελὴς δὲ, ἐχ ὁλοτελὴς, ἀλλ' ἀπὸ τοῦ ὀμφαλοῦ σὺν τοῖς ἐμπεφοδιασμένοις μέρεσι θεωρεῖται. Αὐτὰρ ὁ ἵππος ἐνδιδοῖ) Ὁ δὲ ἵππος, ἐν τῷ τοῦ Διὸς οἴκῳ, ἤγουν τῷ ὑρανῷ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἑρανῷ ἐστίν. ἢ ὡς Διόδωρος, ἔνθι ὁ μεσημβρινός. ἔνθι δὲ ὁ ἥρων ἦλθεν ἐξ Αἰόλου· κεῖ) γὰρ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ, καὶ τοῦ ἰσημερινοῦ. θέατρα δὲ πόλις Βοιωτίας ὑπὸ τὸν ἑλικῶνι, ἀπὸ θεατρείας τοῦ ἀσώπου, ἢ τρεῖς δωρεὰς Ἀπόλλων δέδωκεν, ἐπώνυμον αὐτῆς πόλιν ἐπὶ γῆς, ἐν ἑρανῷ τὸν παρθένον, ἐν τοῖς μαντείοις τὸ θεατρίζειν.

-καίτοι πάρα θηήσεαι,
Αὐτοῦ καὶ κριοῖο φαώσαται εἰσι κέλευθοι,
Ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα,
Οὐδὲν ἀφαυρότερον ἐχαλέπτυνοσυρίδος ἄρκτου,
Αὐτὸς μὲν νωθὴς καὶ ἀὐάστερος, οἷα σελήνη
Σκέπασθαι, ζώνη δ' ἀμφὶς ὑπιτεκμήραιο ὁμοίως
Ἀνδρομέδης ὀλίγον γὰρ ὑπ' αὐτὸν ἐσπερχαι.
Μεσσόθι δ' εἶδος μέγα θερινόν, ἠχὶ περ ἄκραι
Χηλαί, καὶ ζώνη περιτέλλεται ὠρείωνος.

Αὐτοῦ καὶ κριοῖο) Τοῦτον τὸν κριὸν Ἐρατοσθένης εἶναί φησιν, Ἕλλης καὶ Φρίξου, ὃν θύσας τῷ Φυξίῳ Διὶ Φρίξος, τῷ δορᾷ δέδωκε τῷ Αἰήτῃ. διὸ καὶ τὰς ἀστέρας αὐτᾶς ἀμαυρουμένας φησὶν ὡς ὑποδαρέντος. τὸ δὲ αὐτᾶς, ἤγουν ἐπὶ τοῦ ἵππου κεῖ). φησὶ δὲ τᾶς τε ἵππου καὶ τοῦ κριοῦ, ἀφ' ὧν τὸ πλησίον εἶναι τοῦ ἰσημερινοῦ, παχυτάτων εἶναι τῷ κίνησιν· δυσὶ δὲ τοπικῶς τὸ αὐτᾶς ὑπακούεται, οἷον ἔνθα· φησὶ δὲ ὅτι ἀκαίρως ἦλθεν ἐπὶ τὸ κριὸν ἀπὸ τοῦ ἵππου· ἔδει γὰρ τὰ ὑποκείμενα δηλῶσαι τὰς ἰχθύας, ἢ τὸ ὑδροχόον. ἀλλὰ φαμὲν, ὅτι ἀπὸ τοῦ σκορπίου τὰς ἐφεξῆς τοῦ ταύρου διελθὼν, ἔπειτα ἦλθεν ἐξῆς ἐπὶ τὸ κριόν· αὐτὸς γὰρ πλησίον Ἀνδρομέδης. ὀλίγον γὰρ ὑπ' αὐτὸν ἐσπερχθαι ὑποκαπὼν αὐτός φησι. τὸ δὲ θοώτατον, ἀφ' τῷ ἐπαιρομένῳ θερείαν. Ὅς ῥάτε καὶ μήκιστα διωκόμενος περὶ κύκλα) Πληθυντικῶς εἶπε, μήκιστα κύκλα· τὸ ἰσημερινὸν δὲ δηλοῖ· μέγιστος γάρ ἐστι πάντων, ἐσφαῖρη δὲ μέσῳ τέμνῃ τὴν σφαῖραν. τὸ δὲ διωκόμενος, χαλεπαίνοντος εἶπεν, ὡς πρὸς τὰς ταχείας αὐτᾶς ὁδούς· ὡσαύτως ἐν πρεσβείαις, ὅτι τὸ κατὰ φύσιν ἔχον ἐν θαυμασμῷ λαμβάνει. ἀεὶ δὲ ἡ σφαῖρα ὁμαλόνως ἐαυτῇ πᾶσα κινεῖ). ἔστι δὲ ὁ κριὸς ὑπὸ τὸ ἰσημερινὸν μέσος τεμνόμενος· διὸ καὶ ἰσημερία ἐστὶ τὴν ἡλίου ἐν κριῷ γινομένου. ἀνατέλλοντος τοίνυν τοῦ κριοῦ, ἡ κυνόσουρος μέση ἐστὶν ὑπὸ τὸ μεσημβρινόν· ἀνύοντος δὲ τοῦ κριοῦ, τὸ ὑπὸ γῆν, εἶτα πάλιν ἐπ' ἀνατολὰς ἐρχόμενος, ἰσοταχόνως κινεῖ) ἡ κυνόσουρος περὶ τὸ βόρειον πόλον. φησὶν οὖν, καί τοι μέγιστα κύκλα ἀνύων ὁ κριὸς, κατ' ἐδὲν αὐτῆς

τῆς ὅμως βραδύτερον κινεῖ). ἔστι δὲ ἰδεῖν καὶ ἐπὶ τῶ τροχοῦ τῶτο. τῷ γὰρ παντὶ κύκλῳ τῶ τροχῶ συμφέρεται ἡ χοινικὶς, καίτοι ἔλαττον φερομένη· τὸ δὲ τροχάει, ἀντὶ τῦ κινεῖται. Αὐτὸς μὲν νοῆσαι) Βραδύς. ὁμοίως δὲ ἐναντία ἔχειν τοῖς προειρημένοις, ἀλλὰ τὸ βραδὺς εἰρῆσθαι, πρὸς τὴν κατάληψιν. ἀμυδρὸς γάρ ἐστι· τὸ δὲ οἷον σελήνη ἀντὶ τῦ, ὡσπερεὶ ἐν πληθούσῃ σελήνῃ φαινόμενον· αὐτὴ γὰρ ὅτε πλήθῃ, ἀμυδροτέρα ποιεῖ τὰ ἄστρα. ἄνευ δὲ σελήνης αὐτὸς ἀμυδρός ἐστι. Ζώνη δ' ἂν ὁμῶς) Ἀρα δὲν ἀπροόρατος ὁ κύκλος, καὶ οὐκέτι ὁ προὶ τῶν φαινομένων λόγος ἔρρωται, ἀλλὰ πεπίστευται αὐτὸν ὑπὸ τὴν Ἀνδρομέδης ζώνην τυγχάνειν, ἥτις ζώνη λαμπρά ἐστι. τὸ δὲ ἐφήλκεται, καλῶς ἐπήνεγκεν, ἵνα μή τις νομίσῃ, ὅτι τῶν πλανήτων ἐστὶν, ἐπειδὴ διωκρώμων αὐτὸν εἶπε. Μεσόδι δὲ τρίβει) Ἀνύει, διαπορεύεται· ὅθεν καὶ τρίβας τὰς τετριμμένας ὁδοὺς φασίν. ὁ δὲ νῦς, κατὰ τὸ μέσον τῦ ἀρκτῦ πορεύεται· ἐν γὰρ τῷ ἰσημερινῷ κύκλῳ ἐστίν· εἶτα ἐπειδὴ ὄψει οὐκ εἰσὶν οἱ κύκλοι καταληπτοὶ, πλὴν μόνε τῦ γαλαξίε, λαβὼν τῦτο ἐπήγαγε καὶ δίδωσιν ἕτερα σημεῖα, ὧν ἰσημερινὸς κύκλος ἐφάπτεται. ὅπου φησὶν, ἄκραι χηλαί· ἄκρας γὰρ ἀμφοτέρων τῶν χηλῶν ἐπιψαύει ὁ ἰσημερινὸς, καὶ τῆ ζώνης τῦ φαινομένου. μέσος δὲ ὁ κύκλος ἔτος ἐπίκειται.

Εστι δέ τοι κὴ ἕτ' ἄλλο τετυγμένον ἐπὶ ὑθὶ σῆμα,
Νῶθεν Ἀνδρομέδης· τὸ δ' ὑπὸ τεῖσιν ἐσαθμηται
Δελτωτὸν πλευρῆσιν ἰσαγομβρήσιν ἐοικὸς
Ἀμφοτέρης· ἡ δ' ὕλη τόση, μάλα δ' ὀξὺν ἐρίμη
Εὑρέσθαι· πρὸς γὰρ πολέων δ' ἀστερές ἐστι,
Τῶν ὀλίγην κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν·
Οἱ δ' ἄρ' ἔλιξ προτέρω.-

Εστι δέ τοι) Σαφηνίσας ἐν ποίῳ τῦ κύκλου, ἐν ᾧ ἰσημερίαν ἐαρινὴν ὁ ἥλιος ποιεῖται, ἐπεμνήσθη καὶ τῶν χηλῶν ἐν οἷς ἡ φθινοπωρινὴ ἰσημερία γίνεται. ἐπεὶ δ' ἀμυδρός ἐστιν ὁ κύκλος, καὶ δυσκαταλήπτως ἔχει, πειρᾶται λαβὼ σημείων πολλῶν τῶν ὑκαταλήπτων ποιῆσαι. καὶ φησιν, ὅτι καὶ ἄλλο ἐστὶ σημεῖον, πλησίον ὑποκάτω τῆς Ἀνδρομέδης, ὃ δελτωτὸν καλεῖται· τῷ γὰρ δέλτα στοιχείῳ ἔοικασι, τὸ δὲ δελτωτὸν, τρίγωνόν ἐστιν ἰσοσκελὲς, οὐκ ἰσόπλευρον· τὰς γὰρ καπύτας πλευρὰς ἴσας ἔχει, τὴν δὲ κάτωθεν ὑποτείνουσαν βραχυτέραν ἐκείνων. τούτων δὲ τῶν σημείων τὸ δελτωτὸν καὶ τῆς ζώνης τῆς Ἀνδρομέδης, μικρὸν διέσηκεν ὁ κριὸς, νοτιωτέραν ἔχων τὴν θέσιν. λέγεται δὲ, διὰ τὸ τὸν κριὸν ἀμαυρότερον εἶναι, ἐπίσημον ἀπ' αὐτῦ κεῖσθαι τὸ χρᾶμμα, ἀπὸ Διὸς τὸ πρῶτον τῦ ὀνόματος ὄι Ἕλληνες. φασὶ δὲ τὴν αἰγὸπλα θέσιν εἶναι κατὰ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τὸ δ' ἡμα τοῦ ἐν τοῖς ἄστροις τρι-
γώνου. ἔχει δὲ ἑφ' ἑκάστης γωνίας ἀστέ-
ρας τέσσαρας. ἔστι δὲ καὶ ἐν τῷ βορείῳ
ἡμισφαιρίῳ. Η δ' ὅπη τόση) Λείπει
γὰρ ἡ κάτω τοῦ δελτωτοῦ γραμμή,
κατὰ τὸ μέγεθος τῶν λοιπῶν
πλευρῶν, ὅμως δύναται πληθύειν, τέσσαρας γὰρ ἀφ' ἑκάστης τοῦ τετραγώνου ἀστέρων ἐστὶν ἐκλαμπούσης. τούτων δὲ ἐν ἐκείνῃ τῇ γραμμῇ τοῦ δελτωτοῦ ἀστέρων, οἱ δύο, τοῦ κέντρου νοτιώτεροί εἰσι· κατωτέρω γὰρ τὸ δελτωτὸν βορειότερον· οἱ δὲ τοῦ δελτωτοῦ ἀστέρες, πλησιέστερον· βορειότεροι γάρ.

-ἐλίσσεται δ' ἐν πορθολῆσι νότοιο
Ἰχθύες· ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Καὶ μᾶλλον βορέαο νέον καταΐσσεται ἀκυΐ.
Ἀμφοτέρων δὲ σφέων ἀποτείνει) νύτε δεσμὰ
Οὐρανίων ἑκάτερθεν ἐπιχερῶ εἰς ἕν ἰόντων.
Καὶ τὰ μὲν, εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
Ὃν ῥάτε καὶ σύνδεσμον ὑπουράνιον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀειστερὴς ἰχθὺς ἔστω
Σῆμα βορηιοτέρω· μάλα γὰρ νύ οἱ ἐγγύθεν ὄστιν.

Επὶ δ' ἐν) Τῷ κέντρῳ οἱ ἰχθύες τῶν δυτικώτεροί εἰσιν. ὁ βόρειος δὲ ἰχθὺς μᾶλλον τοῦ βορρᾶ ἀφθάνεται· τὸ γὰρ ἀκυΐ, τὸ ἀφθάνειας σημαίνει· τὸ δὲ τοιοῦτον, ἡνιόχου ἀντὶ ἡνίοχος εἴρηται). ἔτοι δέ εἰσιν οἱ τοῦ μεγάλου ἰχθύος ἔκγονοι, ὡς ἔν τῇ τοῦ ἑξῆς ἐρεῖ, οἵ τινες Δέρκην τὴν Αφροδίτης θυγατέρα ἐμπεσοῦσαν εἰς θάλασσαν, ἔσωσαν· ὅθεν εἰς τιμὴν τῆς θεᾶς οἱ σύριοι ἰχθύων ἀπέχονται. τούτων ὁ μὲν, βόρειος· ὁ δὲ, νότιος. ἔχουσι δὲ σύνδεσμον ἀλλήλοις ἕως τοῦ ἐμπεφυκέναι πολὺ τοῦ κέντρου. ἢ ἔστω, ἀλλὰ τῶν δύο τούτων ὁ εἷς τοῦ πρωτοφερέστερος, ἤτοι διαυγέστερος, τοῦ βορειότερος κατὰ τὴν θέσιν. διὸ τοῦ πρώτερον τοῦ βορέα καλοῦσι ἀφθάνειν). εἰσὶ δὲ οἱ ἰχθύες τοῦ ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις, καὶ ἔχουσι τὰς ἅπαντας ἀστέρας τεσσαράκοντα. Αλλ' ἀεὶ) Αλλ' ὁ ἕτερος αὐτῶν, ὅς ἐστιν ὀπίσω τοῦ ζωδιακοῦ κύκλου· λέγει δὲ, διὰ τὸ βόρειον ἰχθύν, ὃς τοῦ Ανδρομέδης ἐπιψαύει· τοῦ νοτιωτέρου ἐστὶ κρείσσων τοῦ ἀμείνων· ὥστε τοῦ βορέα μᾶλλον πνέοντος ἀφθάνειας. ὅσῳ βορειότερός ἐστι τὸ δὲ πρωτοφερέστερον. ἐγγὺ τοῦ πρώτερον ἐλθεῖν ἐπὶ τὴν δύσιν. ὡς ὁ ταῦρος πρωτοφερέστερος ἡνιόχου· ἀλλὰ τὸ κρεῖττον, ὡς ὑπολαμπρότερον ἀστέρων ἀμαυρότερον· ὁ δὲ Ιππαρχος, ἔχ ὡς πρὸς τὸ δελτωτὸν, ἀλλ' ὡς πρὸς τὸ κέντρον ἐν πορθολῆσι νότοιο, λέγει τοὺς ἰχθύας, ἵνα τὸ Αρατον δύσφημον· βέλτιον δὲ καὶ ἀνυποδύητον ἀκέφαλον ἐκείνως. Αμφοτέρων δὲ) Ο νοῦς, ἀμφοτέρων ἐκ τῶν οὐρανίων δεσμός τις ἀποτείνεται. εἰκὸς δὲ, ἐγγὺς ὄντων ἀλλήλων καὶ

τῶν

τῶς οὐρᾶς μηνοειδὴ ἐπιψαυόντων. ἔστι δὲ πρὸς τὸν ἀριστερὸν ὦμον τῆς ἀνδρομέδης ἰχθὺς ἕτερος βορειότερος· νοτίων γὰρ ὄντων τῶν δύο τούτων ἰχθύων, ὁ βορειότερός ἐστι πρὸς τὴν ἀνδρομέδαν. τοῦτον δέ τινων τὸν βορειότερον ἰχθὺν, χελιδόνος ἔχειν τὴν κεφαλήν φασιν, ὃν χαλδαῖοι καλοῦσιν ἰχθὺν χελιδονίαν. Καὶ τὰ μὲν, εἷς) Εἷς ἀστὴρ ἐστιν ἐν τῷ μέσῳ τῶν ἐρίφων, ὅσις ὡσαύτως συνδεῖ ἀμφοτέρους, ὃν καλοῦσιν ἡνίοχον δεσμόν.

Ἀμφότεροι ὑπὸ πόδες γαμβρὸν ἐπισημαίνουσιν
Περσέως, οἵ ῥα οἱ αἰὲν ἑπωμάδιοι φορέουσι.
Αὐτὰρ ὅγ' ἐν βορέῳ φέρεται πρὸς μήκετος ἄλλων.
Καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάμυσται
Πενθερέι δίφροιο· τὰ δ' ἐν ποσὶν οἷα διώκων
Ἰχνια μηκύνῃ, κεκονισμένος ἐν Διὶ πατρί.

Ἀμφότεροι δὲ πόδες) Σφόδρα θαυμάσαι ἔσιν αὐτὸν, πῶς ἀφόρμως προφάσης ἑαυτῷ δίδωσιν· ἐπειδὴ γὰρ ὑπολέλειπται αὐτῷ εἰς τὰ κατὰ κηφέα ὁ πρόσεσις, μὴ τὸν κριὸν ἢ τὸν ἵππον ἢ τοὺς ἰχθῦς, ἀνέστρεψεν εἰς τὴν ἀνδρομέδαν· ἢ ἀπὸ ταύτης τὰ πρὸ προσέσεως διδάσκει· ἐπὶ τῶν ποδῶν δὲ τῆς ἀνδρομέδης σημάναι τοὺς ὤμους τῆ προσέσεως, διὰ τούτων εὐσταθέστατον αὐτὸν πλησιγαμβρὸν δεῖ, τὸν νυμφίον κατὰ πόλεας. ἐλλιπισμὸς δὲ τὸ σχῆμα, ἀντὶ τοῦ οἱ πόδες αὐτῆς τὸν γαμβρὸν ἐπισημαίνουσιν τὸν προσέα. ἀεὶ δὲ οἱ πόδες ἐπὶ τῶν ὤμων αὐτῆ φέρονται· ἐν οἷς ἑπωμάδιοι, ἐπὶ τὸν ὦμον τοῦ προσέως δηλοῖ. ἰστέον δὲ ὅτι ἀριστερὸς ὦμος τῆ ἀνδρομέδης λαμπρότης ἐστιν, ἐξ ὧν διδάσκει τὸν βόρειον ἰχθύν· ἀλλ' ὅμως ἐν τῇ χειρογραφίᾳ, ὁ δεξιὸς αὐτῆς πλησιάζει τῷ ἰχθύϊ, καθὸς ἐν τῇ οὐρανοθεσίᾳ ὁ ἀριστερὸς ἐμπέπτωκε γὰρ ἐπ' ὄψιν τοῦ οὐρανοῦ τὰ ζώδια, καὶ τὰ νῶτα αὐτῶν ἡμεῖς ὁρῶμεν, ἡμεῖς δὲ τὰ ἀνάπαλιν τὰ νῶτα πρὸς τὸν σφαῖραν χειρόφωμεν· ἃ γὰρ δυνατὸν ἐν τῇ σφαίρᾳ ἕτερα ὡσαύτως ἐν ἐρανῷ χειροφῶμεν· ἃ γὰρ ἂν αὐτὰ ἑωράμεν. Αὐτὰρ ὅγ' ἐν βορέῳ) Ὁ δὲ ἐν τῷ βορείῳ ἐστὶ κύκλῳ, τῶν ἄλλων μείζων κατὰ τὴν φαντασίαν, τῆς τε κοσμοπεπείας, καὶ αὐτὸς ἕ κηφέως. πάλιν ἐν ἐρανῷ ἡ τοῦ προσέως δεξιὰ πρὸς τὴν κοσμοπεπείας καθέδραν ἐπέπαται, ἐν δὲ τῇ χειρογραφίᾳ ἡ ἀριστερὰ, διὰ τὴν εἰρημένην αἰτίαν· δεῖ γὰρ ἡμᾶς ὁρᾶν τὴν ὄψιν τοῦ ζωδίου· διὸ ἐὰν λέγῃ δεξιὰν χεῖρα ἢ ἀριστεράν, ἢ δύρωμεν τὸ ἀνάπαλιν ἐπὶ τῆς σφαίρας, μὴ ξενιζώμεθα, ἔνθεν γὰρ ὠφείλε τὰ ζώδια ὡς πρὸς τὴν σφαῖραν ἔχειν τὴν ὄψιν, ὡς ἐν ἐρανῷ· ἀλλ' ἕξω χάφεται, πρὸς τὸ καθ' ἡμᾶς αὐτὰ ἀκριβῶς ὁρᾶν. κοσμοπολίται δὲ ὁ προσεὺς ἐν τῷ οὐρανῷ, διὰ τὴν δόξαν, ὅτι ἐπὶ τὰς γοργόνας σταλεὶς ἐπὶ Πολυδεύκους, τὸν ἆθλον κατώρθωσε, λαβὼν παρ' Ἡφαίστου ἅρπην, καὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

παρ' Ερμῆ πέδιλα· θεωρεῖται δὲ ἐν τοῖς ἄστροις τὼ γεγράνω κατέχων κεφαλώ. τὰ δὲ ἐν τοῖς ποσὶν ἴχνη, ἤγουν τοὺς τῶν ποδῶν βάσεις τωλατύνει, ἀφ' ὧν τὼ θερινημερίω τῆς ἀποδυ αἰτίαν, ὅτε τοὺς γεγράνους ἐδίωκε, κεκονιμένου οὖν, ἤγουν κόνιν ἐκ τῆς ἀποδοῦ ἐγείρων. ὁ Ὅμηρος, Κονίῃ πεδίοιο, ἢ ὅτι κεκονιμένος ὁ νεφελώδης ἐστὶ περὶ τοὺς πόδας αὐτοῦ συροφαί, καὶ κονιορτώδης, ἅτε τῶ γαλαξίου κύκλω γινιῶντος. τὸ δὲ ἐν Διΐ, τῷ οὐρανῷ.

Ἀγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἅλιθα πᾶσαι
Πληϊάδες φορέουσ'. ὁ δ' ὑπὲρ μάλα πολλὸς ἀπάσας
Χῶρος ἔχει, καὶ δ' αὐταὶ ἐπισσύφαθαι ἀφαυραί.
Ἐσταότες δὴ ταί γε μετ' ἀμφοτέρῃσι ὑδέονται,
Ἐξ οἵαι περ ἔασαι ἐπόψιαι ὀφθαλμοῖσιν.
Οὐ μήν πως ἀπόλωλεν ἀτρύγετος ἐκ Διὸς αἰθήρ,
Ἐξ οὗ δὴ γενεῆθεν ἀκούομεν, ἀλλὰ μάλ' αὖτως
Εἴρεται· ἑπτὰ δὲ κεῖναι ἐπιρρήδην καλέονται,
Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε,
Καὶ Στερόπη, καὶ Τηϋγέτη, καὶ ποτνια Μαῖα.
Αἱ μὲν ὅμως ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
Ἠέ, ἑσπέριαι, Ζηνὸς δ' αἴπυς, Εἰλίσσων,
Ὅς σφισι καὶ θέρεος καὶ χείματος ἐρχομένοιο
Σημαίνων ἐκέλευσεν, ἐπερχομένω τ' ἀρότοιο.

Ἀγχι δέ οἱ) Τὸ δὲ ἀριστερὸν τῆς ὠρτέως γόνυ ὀλίγον ἀνωτέρω ὀφείλει εἶναι τῆς βορείου διχοτομήματος, ὅπου καὶ τὰς πλειάδας εἶναι λέγομεν, βότρυος δίκην περισυνακεκλιμένας· τὸ δὲ ἅλιθα, ἀντὶ τοῦ ἅμα καὶ κατὰ τὸ αὐτό· ἐγγὺς πολύς ἐστι τόπος, ὃς ἐπέχει αὐτάς, ἀλλ' ὀλίγος· σφόδρα γὰρ πλησίον ἀλλήλων, καὶ διεστῶσαί εἰσιν· ἢ ἅλιθα, ἤγουν ἀθρόως. ἔστι δὲ ὡσεὶ τὸ ἅλις, ὅθεν καὶ ἁλίαν οἱ δωριεῖς τὴν ἐκκλησίαν καλοῦσι. φασὶ δὲ οἱ μῦθοι περὶ τῶν πλειάδων, ὅτι ἀπὸ Ἀτλαντος ἐγεννήθησαν, καὶ Πλιόνης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. ὁ δὲ Ἄτλας μετὰ καὶ ὁ Προμηθεὺς καὶ ὁ Ἐπιμηθεὺς, ἐγεννήθησαν ἐκ τῆς Οὐρανοῦ καὶ Κλυμένης τῆς τοῦ Ὠκεανοῦ θυγατρός· ἐγεννήθησαν δὲ ἔτως ἀπὸ τοῦ Ἀτλαντος καὶ τῆς Πλειόνης, ἐδιώκοντο πέντε ὅλως ἐνιαυτὸς κατὰ Βοιωτίαν ὑπὸ τοῦ Ὠρίωνος μετὰ καὶ τῆς μητρὸς αὐτῶν

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

αὐτῶν συγγενέας ζητοῦντες αὐτάς· καὶ τοῖς θεοῖς εὔξαίμην, πρὸς πελειάδας ἠμείφθησαν· εἶτα οἰκτείρας αὐτὰς ὁ Ζεὺς τῆς κακοπαθείας, ἐν τῷ οὐρανῷ κατησέρισεν. ἐκ τούτου δὴ καὶ Ἀτλαντος φασὶν οἱ μῦθοι καὶ τὰς ὑάδας γεγενέας, καὶ τὸν υἱὸν Ὑάντα, ὃν ἐν λιβύῃ θηρῶντα, ἐπειδὴ ὄφις ἀνεῖλεν, αἱ ἀδελφαὶ τῷ θρίῳ νικηθεῖσαι, ἀπώλοντο. Ζεὺς δὲ ἀστέρας αὐτὰς πεποίηκε, ὡς καλεμβρίας ὑάδας. ὧν καὶ Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτῶν τὰ ὀνόματα διδάσκει βίβλῳ, λέγων, Φαισύλη, ἡ δὲ Κορωνὶς, εὐστέφανός τε Κλέεια, Φαιῶ θ' ἱμερόεσσα, καὶ Εὐδώρη τανύπεπλος. ἀλλὰ ταῦτα μὲν τὰ μυθικά· ἀλληγορικῶς δὲ, Ἀτλαντα νόησον τὸν ὁρίζοντα, καὶ Πλειόνην τὸν ὠκεανόν· ἐκ τούτων γεγενέας δοκοῦσι καὶ αἱ πελειάδες, καὶ αἱ ὑάδες, καὶ τὰ λοιπὰ τῶν ἄστρων, ὅτι ἐξ αὐτῶν ἀνερχόμενα φαίνεται. καλοῦνται δὲ αἱ πελειάδες τῷ ὀνόματι τούτῳ, ἀπὸ Πλειόνης τῆς αὐτῶν μητρός· ἢ ἀπὸ τοῦ πελειάδας γεγενέας, φυγάσσες τὸν Ὠρίωνα· ἢ ἀπὸ τοῦ εἰς πολλὰ χρησιμεύειν· σημαντικὴ γὰρ καὶ θέρους καὶ ὥρας· ἢ ὅτι πολὺ πλησίον ἀλλήλων κεῖνται, ὡσεὶ λαγὼν γόνυ τοῦ πόσεως· ἢ ὅτι χρήσιμοί εἰσι τοῖς πλέουσιν. ἰστέον δὲ ὡς ἡ ἑῴα ἀνατολὴ τῶν πελειάδων γίνεται ἀπὸ μαΐου ἕως κγ'. τοῦ ἰουνίου· ἡ δὲ ἑσπερία ἀνατολὴ, ἀπὸ ὀκτωβρίου μέχρι δεκεμβρίου ιδ'. καλοῦνται δ' ἂν ἐπὶ πελειάδες, καὶ ἀπὸ τοῦ πολεῖν καὶ πορεύεσθαι καὶ συμπλεῖν ἐν ἀνιαυτόν. ἀπὸ τούτων γὰρ κατ' ἐξοχὴν καὶ πλοιῶν ἐκλήθη ὁ ἐνιαυτός. ὁμοῦ μὲν οὖν ὁρώμενα, λαμπρά· καθ' ἕκαστα δὲ, ἀμυδρά. καὶ ἔχουσι σχῆμα τρίγωνον, ἧς ἡ βάσις ἐπ' ἀναβολὴν τέτραπται. Νίκανδρος μὲν οὖν ἐπὶ τῆς οὐρᾶς τοῦ ταύρου πίπτειν αὐτάς, Αἱ δ' ὑπὸ ταύρου Ὀλκαίῳ ψαίρουσιν, ὀλίζονες φορέονται· Ὁ Ἱππαρχος δὲ, ἐπὶ τῷ ταύρῳ. καὶ γὰρ αὐτὸς ἡμίζωμον τὸν ταῦρόν φησιν· ἀλλὰ τῷ μὲν ποδὶ τοῦ πόσεως μᾶλλον αὐτὰς πλησιάζειν· πέρᾳ δὲ τοῦ κνήμιλου εἶναι τοῦ ἀριστερου γόνατος. ὡσὶ δὲ Διόδωρος μὲν ἐπιγωνίδας γράφει, ὅπως ἡ κνήμη σῆμα γένοιτο· Μονόφαντος δὲ ἐπιγωνίδας τοῦ κνήμιλου ἀκούει, διὰ τὸ εἶναι ἐπ' αὐτῷ τὸ γόνυ. δύναιτο δ' ἂν ἀπὸ μέρους ὅλον τὸ σκέλος ἀκούεσθαι. παρὰ Ὁμήρῳ δὲ, ἐπίγονον τὸ ἄνω τοῦ γόνατος, ὡς Ἀρίσταρχος· ὡς δὲ Κράτης, ἐπωμίς· ὡς δὲ Χάρης, ἡ ἐφ' ὅλῳ τῷ σώματος δύσαρκία. ἀπολὺ δὲ αὐτὰς χωρίον ἐπέχειν φησὶν, ἐπειδὴ κατὰ μῆκος, μίαν μοῖραν ἐπέχουσι, κατὰ δὲ πλάτος, ἥμισυ τοῦ ὁρίζοντος. ἑῴαν δὲ ἐπιτολὴν ποιοῦνται, ἐφ' ἡμέρας πεντήκοντα δύο, τῆς ἐαρινῆς ἰσημερίας, καὶ ὁ ἥλιος ἐστὶ μοιρῶν ιζ'. ἐν ταύρῳ, τοῦ ἑσπερίαν δὲ, ἐφ' ἡμέρας τοσαύτας, τῆς φθινοπωρινῆς ἰσημερίας, ἡλίου ὄντος ἐν τοξότῃ. φασὶ δὲ ὅτι μία τῶν πελειάδων ἐκπεφωνώκη, καὶ διὰ τοῦτο ἀφάνεται. Ἐπλάνηθη δὴ ταύτῃ) Ἐπλανήθησαν δὲ ἔσαι, φησὶν, ἐξοδοιπορήσουσαι) ὡσεὶ τοῖς ἀνθρώποις, διὰ τὸ ἀμυδρῶς τοῦ ἑβδόμου ὁρᾶσθαι. πολλοὶ δὲ οὐκ ἐπὶ ταύρου φησὶν εἶναι, ἀλλὰ τῇ ἀληθείᾳ ἔξεισι μόναι φαινόμεναι. φασὶ δέ τινες τοιοῦτον μῦθον, ὅτι μία ἐκ τῆς ἐπλανήθη, διὰ τὸ τῆς Ἰλίου πτώσεως ὑπεχώρησε τοῦ συσήματος, καὶ ὑπὸ τὸν δεύτερον ἀστέρα τοῦ ῥυμοῦ ἦκεν, ὃς λέγεται εἶναι τῶν Ἡλέκτρας. τοῦτον δὲ τὸν ἀστέρα, τὸν ὑπὸ τὸν ῥυμὸν τῆς ἅρκτου ἀναχωρήσαντα ἐκ τῶν πελειάδων, ἀλωπεκάλωπεκας καλοῦσιν. Οὐ μὴν πως ἀπόλωλεν ἀπειθής) Τοῦτό φησι, χαριεντιζόμενος ἐπὶ τῇ μυθολογίᾳ, ὅτι ζ'. εἰσὶ, καὶ ἐδέποτε ἀνήκουσος ἀστὴρ ἀπόλωλεν. οὐδὲ ἠκού-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἠκούσαμεν τοῦτο, ἀφ' ἧς ἐγένηθημεν, καὶ ἀφ' ἧς τὰ ἄστρα γεγένηται, ἀπόλωλότα καὶ ἀνήκουστον γενόμενον ἀστέρα. τοὺς οὖν τὸν μῦθον ἐπόντας φησὶ τοῦτο· ὧν ἐστι καὶ αὐτός. ἐν γὰρ τῇ εἰς Θεόφραστον ποιήματι φησὶ φεύγειν τὸν Ηλέκτραν, καὶ μὴ ὑπομεῖναι ἰδεῖν τὸν Ιλιον ἁλισκόμενον, καὶ τὰς συμφορὰς δυστυχοῦντας· γὰρ Δάρδανον παῖδα Διὸς καὶ Ηλέκτρας εἶναι· ἔστι δὲ ὑπερβατόν· τὸ ἐπιάπτοροι, ἔστω, ἐπιάπτοροι ἧσιν ἐπόψιαι ὀφθαλμοῖσιν, ἐξ οἵας παρ' ἀνθρώποις ὑδέονται· τῶν γὰρ ζ'. ὀνομάτων λέγων τὰ κατάλοιπον, σαφῶς δηλός ἐστι σωζόμενος τῷ ἀριθμῷ τούτῳ καὶ σωτηρίᾳ. ὑδέονται δέ, σημαίνουσιν αἱ παλαιαὶ φωναί· ἐὰν γὰρ ἀναβολὴν ἀνατέλλουσιν, σημαίνουσι θέρος ὀψέ· ἐὰν δὲ δύσιν δύωσιν, ἀντίληψιν τοῦ καθ' ὥρον ἔργων· ἑσπερίαν δὲ ἀνατολὴν ποιῶνται, χειμῶνος ὀψέ. τὴν δὲ ἑσπερίας δύσεως οὐκ ἐμνήσθη, ἀφ' τὸ συμβαίνειν αὐτὴν οὐδὲ τὴν ἀκριβῆ ἐπισημείαν, ἢ μηδὲν ἐξαίρετον ἔχειν σημεῖον. Αἱ μὲν ὅμως ὀλίγαι) Ὀλίγας αὐτὰς φησι, ἀφ' τὸ ἐξ ἀμυδρῶν συγκεῖσθαι ἀστέρων· ἀνομάσθαι δὲ ὅμως ἢ ἐπίδοξοι, ἀφ' ὧν ἢ τὴν ἀναβολὴν αὐτῶν ἢ τὴν δύσιν προσαναγκαῖον εἶναι τοῖς ἀνθρώποις· ἐπιτελουμένων γὰρ, ἃ ἀμυήτοις ἄρχεσθαι χρὴ, δυομένων δὲ τοῦ ἀρότου. ἦλε δὲ τὸν ὄρθρον, ἤγουν τὴν ἀνατολήν φησιν· ὑπὸ τὸν ὄρθρον γὰρ ἀνατέλλουσι σὺν ἡλίῳ ὄντι ἐν τῷ ταύρῳ, λαμπρά. ἢ εἰκὸς δοῦναι φαρμακοῖ μιλτος, ὃς ἐστι παρὰ ῥωμαίοις ἀπτίλλιος, ὅτε καὶ τὸ θερίζειν ὁ καιρὸς πυρὸν αἰγυπτίοις, ἑσπερίαν δὲ λαμπρὰν ἀνατέλλουσιν, ἡλίου ὄντος ἐν σκορπίῳ, ἀθὴρ μιλτος, ὃς ἐστι παρὰ ῥωμαίοις νοέμβριος, ὅτε ἐστὶ καιρὸς τοῦ ἀροτρεῖν. τότε γὰρ ἑσπεριαί εἰσιν, ὅτε πρὸς ἑσπέραν ἀνατέλλουσι. τὸ δὲ ἑξῆς τοῦ ῥητοῦ ὕστως ἔχει· αἱ δὲ, ὀνομάσθαι ἦρι καὶ ἑσπερίαι, ἐλίσσονται καὶ συμπαραφέρονται τῷ οὐρανῷ. ἐν τούτων δὲ Ζεὺς αἴτιος, ὃς κατησφάλισεν αὐτὰς, ὅσας αὐτὰς καὶ θέρος ἀρχομένας καὶ χειμῶνος σημεῖα φέρειν ἐποίησε. λαμπρὸν οὖν, ἐὰν φαρμακοῖ ἀρχομένας θέρος ἀνατέλλουσιν· ἐὰν δὲ δύνασιν, ἀθὴρ μιλτος, ἀρχομένου χειμῶνος.

Καὶ χέλυς, ἥτ' ὀλίγη τοι ἐπ' ἀρκέλῳ καὶ σφὶ λίκνῳ
Ἑρμείας ἐτόρησε, λύρῃ δέ μιν εἶπε λέγεσθαι·
Καὶ σφι ἔθηκε σεσηπάναισιν ἀπαθέος εἰδώλοιο
Οὐρανὸν εἰσαγαγών· τοὶ δ' ὑπὸ σκελέεσσι πέτηλον
Γουνάτι οἱ σκαιῷ πελάσσ.

Καὶ χέλυς) Τὰ ὑπολειπόμενα τῷ βορείῳ διδάσκει, τὴν τε χέλυν καὶ τὸν ὄρνιν· οὐκ ἀφ' ἑαυτῶν δὲ ταῦτα διδάσκει, ἀλλ' ὡς τῶν παρεγνωσμένων· χελώνην δὲ ὁ Ερμῆς ἐπιδείρας, αὐτὴν κατεσκεύασε. Λύρην δὲ μιν εἶπε λέγεσθαι) Αὐτὸς, φησὶ, καὶ τὴν ὀνομασίαν δέδωκε τῷ ὀργάνῳ, κατασκευάσας αὐτήν· ἐπτάχορδος δὲ ἦν αὕτη, ἣν Ερμῆς κατ' ἀριθμὸν τῶν πλανήτων ἐκ χελώνης κατασκευάσας, Ἀπόλλωνι δέδωκεν

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δέδωκεν· ὁ δὲ Ορφεὺς παρέδωκεν, ὃς συνεάχορδον ἐποίησεν αὐτῷ, ἀπὸ τοῦ τῶν μουσῶν ἀριθμοῦ· καὶ μὴ δύναιτο αὐτὸς, τῷ λύραν ἔδωκε Μουσαίῳ· ὃ ἀξιώσαντος, ὁ Ζεὺς αὐτῷ κατηστέρισεν, ὅπως αὐτοῦ μνημόσυνον ᾖ ἐν τοῖς ἄστροις. τὸ δὲ, ἢ τ' ὀλίγη, ἀντὶ τοῦ ὀλίγων ἀστέρων, καθ' ἕν Ἱππαρχον, δέκα· ὡς δὲ Τιμοχάρης φησὶν, ὀκτώ. ἢ ὅτι ὀλίγας ἐπέχει μοίρας. ἀπυθέα δὲ, τὴν ἐν γένασιν· ἐπεὶ οἱ μὲν Ηρακλέα, ἄλλοι δὲ Ἰξίονα λέγουσι. ἢ δ' ἐπὶ σκελέεσι πέτηλον, ἢ τὸ ᾧ ἐν γένασι πέτηλον, τετράς δ' εἴδωλον ᾧ ἐν γένασιν· ἢ τὸ πέτηλον τ' χέλυος ἐν τῷ ἀριστερῷ γόνατι ᾧ ἐπὶ σκελέεσιν, ἤγουν ᾧ ἐν γένασι κεῖται· πέτηλον δὲ, ἢ τὸ ἀναπεπταμένον, ἢ ὃ ἀναπεπλωκός. ἡ λύρα ἣν δοκεῖ Ερμοῦ ἔργον εἶναι· κεῖται δὲ πρὸ ᾧ ἐν γόνασι ἀντὶ τοῦ ἀριστερὸν αὐτοῦ γόνυ. λίκνον δὲ τὸ κυνέον φησὶ, ἀπὸ τοῦ λίαν κινεῖσθαι, ἐν ᾧ ἡ νήπια καταπίπτουσιν. ἢ λίκνον ὃ λικμητήριόν φησι· τὸ γὰρ βρέφη τροφὸν γυναῖκα, ἐν τῷ λικμητηρίῳ ἐπίστασιν, εἰς σύμβολον δυτροφίας· δήμητρος γὰρ καρπὸν τὸ ἐργαλεῖον. σφόδρα γοῦν νήπιος ὁ Ερμῆς τὴν λύραν κατεσκεύασε. τετιταῖον γὰρ αὐτὸν ἀπὸ τοῦ τόκου, ταύτην κατεσκευακέναι φασί.

κεφαλή γε μὲν ἄκρη
Αντιπέρην ὄρνιθος ἑλίσσεται· ἡ δὲ, μεσηγὺ
Ορνιθέης κεφαλῆς, καὶ γενύατος ἐσήκιλαι.
Ηοι γὰρ καὶ Ζηνὶ παρατρέχει ἀγόλος ὄρνις·
Αλλ' ὁ μὲν, ἠερέθει· τὰ δέ οἱ ὑπιτετύκται)
Ἀστράσιν ὅτι λίην μεγάλοις, ἀτὰρ ὁ μὲν ἀφαυ-
Αὐτὰρ ὅγ' αὖ διόνυσι ποτὶ ὄρνιθι ἐοικώς, (ροῖς.
Οὖλος εἰς ἑσπέρην φέρει) καὶ δεξιὰ χεῖρος
Κηφῆος, ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
Λαιὴ δὲ παρέρυγι σκαρθμὸς παρακέκλιται ἵππου.

Κεφαλή γε μὲν) Τῆς δὲ κεφαλῆς ᾧ ἐν γενύασι πλησίον ἐστὶν ὄρνις κύκνος· ὃ μεταξὺ καὶ τοῦ γενύατος ᾧ ἐν γενύασι, κεῖται ἡ λύρα. Ηοι γὰρ καὶ Ζηνὶ παρατρέχει) Ζηνὶ, τῷ οὐρανῷ λέγει. τὸ δὲ παρατρέχει, ἢ ὅτι τὰς πλέυρας ἀπωλώσας, ἐμφαίνει δρόμου καὶ πλήσεως ἐμφαίνει· ἢ ὅτι τῷ οὐρανῷ συμπαρεφέρεται. οὐκ ἀπεικὸς δὲ, ὡς μουσικὴν ὄντα τὸν ὄρνιν, πλησίον εἶναι τῆς λύρας. Αλλ' ὁ μὲν, ἠερέθει) Αλλ' ὁ μὲν κύκνος, ἀμυδρός· παρὰ δὲ τὸ πλέρα αὐτοῦ τετρήχασι), ἢ ὅτι πολλοὶ ἀστέρες τὰς ἀπωλωσὰς τῶν πλερῶν ἀποτελοῦσι, διὸ καὶ τετρήχασιν· ἢ ὅτι τοῦ πλέρα ἐπιψαύει ὁ γαλαξίας κύκλος, διὸ ὡς παρὰ τοῦτο ἀποτελεῖ.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

λεῖ· ὁ δὴ καὶ ἐπὶ τῆς περσέως ἐλέγομεν. Ὁ δὲ, ὁ μὴ ἀφανροῖς, ἀντὶ τοῦ, ὁ λαμπροῖς μὴ, ὁ παντελῶς δὲ ἀφανέσιν. Οὐρίῳ εἰς ἑτέρῳ) Ἐπὶ τῷ δύσιν, ὡς φησὶν ἀντιδιαστολὴ τῆς ἀνατολῆς. τὸ δὲ, φέρεται, ὡς φησὶ τὴν τῆς πλήσεως ἔμφασιν, ἀφ' ὃ τὸ ἡπωλῶαι τοὺς πλέυρας· ἢ συμπεριφέρεται τῷ ἑρμῶ. τοῦτον τὸν ὄρνιν οἱ μὲν λέγουσιν εἶναι κύκνον, καταστερισθῆναι εἰς τιμὴν τοῦ Ἀπόλλωνος, ἅτε μουσικὴν ὄντα· οἱ δὲ, ὅτι Ζεὺς εἰκασθεὶς κύκνῳ, καθεύδοντος πολλὰς ὡμίλησε Νεμέσῃ, καθεύδοντος δὲ ἐκείνους Λήδᾳ, ἐκ δὲ τῆς Λήδας, τῷ Ἐλένῃ γεγένηται καὶ τοὺς Διοσκόρους ἐν ᾠῷ λέγουσι. τὸ δὲ αἰόλου, ἐπεὶ τὰ μὲν αὐτοῦ ἀνάστερα, τὰ δὲ κατηστέρωται. φέρεται δὲ ὁ κύκνος καθὰ τὰ δεξιὰ τῆς κηφέως χειρός· τὰ γὰρ δεξιὰ τῆς πλέυρης, ὃ δηλοῖ τὸ ταρσοῦ, παραπέφυκε τῇ τοῦ κηφέως δεξιᾷ. ὁ δεξιὸς οὖν ταρσὸς τοῦ κύκνου, τουτέστιν ἡ πλευρὴ. ὁ δὲ σκαρθμὸς σημαίνει τὴν πόδα τοῦ σκαίρειν, τοῦ ὀνόματος τοῦ Θ.

Τὸν δὲ μεταπαίσεται δύ' ἰχθύες ἀμφινέμονται
Ἰσον. πρὸ δ' ἄρα οἱ κεφαλῆς χείρ ὑδροχόοιο
Δεξιτερὴ τετάνυται· ὁδὸν δ' ὁπίσθεος ἀίσσει
Τέλεθ'. αὐτὰρ ὄγε πρόσθεν ἐὼν μᾶλλον
Κέκλιται ἀίσσοντος, ἵνα πρέπει ἠελίοιο
Μὴ κείνῳ σὺν μοίρῃ πρόσω κλύζοιο, θαλάσσης
Πεπαμένῳ πελάγει κεχρημένος, ὅτε κεν ἕοι
Πολλὸν πειρώμενος, ἐπεὶ ταχινὸν τεταμεῖσιν
Οὔτ' ἄρ τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
Ἔλθοι, ἢ μάλα πολλὰ βοώμενος οἱ δ' ἀλεγεινοὶ
Τῆμος ἐπιῤῥήσσουσι νότοι, ὅτ' ἀίσσοντι
Συμφέρεται ἠέλιος, τότε δὴ κρύος ἐν Διὸς ὄμβρῳ
Ναύτῃ μαλακώτερον· ἀλλὰ τε ἔμπης
Ἤδη πολλάκι σεῖο ὑπὸ ῥιπῇσι θάλασσα
Πορφύρει· ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσι,
Πολλάκις ἐν νηῶν πέλαγος πεπαλαίοντες,
Ἡμεθ',

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ημεθ', ἐσ' ἀγκαλύς τετραμμένοι οἱ δ' ἐλι πόρφ
Κλύζον), ὀλίγον δὲ δηθ' ξύλον αἰὲν ἐρύκῃ.

Τὸν δὲ μεταστρέφεται) Σφόδρα πάλιν καθαρὰν δέδωκεν ἑαυτῷ σωφροσύνην, ὥστε ἐλθεῖν ἐπὶ ταξιάρχους, καὶ χέλυν, καὶ ὄρνιν· καὶ ἀπὸ τοῦ ἵππου πάλιν ἐπὶ τοὺς ὑποκειμένους ἰχθύας, εἶτα ἀπὸ τῶν ἐγνωσμένων ἰχθύων καὶ τοῦ ἵππου ἐπάγῃ, πάρ δ' ἄρα οἱ κεφαλῇ, ἤγαγε δὲ τῇ κεφαλῇ τοῦ ἵππου, ἡ δ' ὑδροχόος χείρ. ὁ δὲ ὑδροχόος ἐστὶ, δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς γραφίδος· ἔχων γὰρ ἔσηκεν οἰνοχόην, καὶ ἔκχυσιν ποιεῖται ὑγροῦ, ἥντινα εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους· τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον, ἑκατονταέτη ἀνδριάντα, ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸ νεῖλον πλημμυρεῖν. Ὁ δὲ αἰγόκερως ὁμοιός ἐστι τῇ αἰγί. καταπεπλεύσθω δὲ, εἰς τιμὴν τοῦ Πανός· εἰς γὰρ τοῦτον μετεβλήθη, διὰ κόμην τῶν ἄλλων θεῶν· ἢ ὅτι σωτήριός ἐστι τοῦ Διός. εὗρε δέ ἐστι τὸν κόχλακα ἐν τῇ θαλάσσῃ· διὸ παράσημον ἔραν ἰχθύος ἔχει. τῷ δὲ ἤχῳ αὐτοῦ παρακαλοῦμεν, τοὺς πτᾶνας ἐπεύξασθαι. ὁ οὖν αἰγόκερως σωτήριός ἐστι τοῦ ὑδροχόου τῇ θέσει· διὸ καὶ σωτῆρα αὐτοῦ ἀνατέλλει. Ὁ δὲ νειόθι, κατωτέρω ἢ σωτήριός ἐστιν, ἐπειδὴ σωτὸς νότον ἐστὶν ὅπου συμβαίνει τὰς χειμερινὰς τροπὰς γίνεσθαι· ἐντεῦθεν δὲ ἐπὶ τὰ βόρεια εἰς δύσιν ἐν τοῦ χειμῶνος ἀνατέλλει. Ἵνα τρέπεται) Πολλάκις ὡς εἴπομεν, ἀ μόνον ἕνεκα τῆς γνώσεως τῶν φαινομένων γράφει ὁ Ἄρατος, ἀλλὰ διὰ τούτων καὶ βιωφελεῖς εἰσάγει καιροὺς τοῖς ἀνθρώποις· καὶ νῦν τὸν χειμερινὸν καιρὸν διὰ γραφῶν φησὶν, ἀρχὴ χειμῶνος, ὅταν τῷ αἰγόκερωτι γένηται ὁ ἥλιος. ἐπάγῃ δὲ, ὅτι μὴ κατ' ἐκεῖνον τὸν καιρὸν πλοΐσιος. λέγει δὲ τὸν τοῖ, ὃς ἐστι κατὰ ῥωμαίους ἰανουάριος· τότε γὰρ σφοδρός ἐστιν ὁ χειμών. Ὁ δὲ, ὑπὸ τῆς θαλάσσης περικλύζοιο, πλέον δηλαδὴ καὶ ναυλλόμενος, καὶ ἀναπεπταμένῳ πελάγει τὸ πλοῦν ποιούμενος· ὅτε γὰρ πολλὴν θάλασσαν δυνατὸς ἐν διαπεράσαι διὰ μιᾶς ἡμέρας· μικρὰ γὰρ τὰ τῶν καύτα ἡ ἡμέρα· ὅ τε ἐν νυκτὶ φόβον καὶ κίνδυνον ἐν τῷ χειμῶνος ἔχοντι, μετ' ὀλίγον ἂν ἐπέλθοι ἡ ἡμέρα· μακρότατοι γὰρ αἱ νύκτες· μακραὶ γὰρ ἐπίρροθοι δύφρόναι εἰσί. τὰ χέως δὲ τῶν ἑσπέραν ποθὲν δύκα, βραδέως δὲ τῶν ἠῶ. διὸ τῶν διὰ νυκτὸς δυσχίαν μεγάλην ἡγητέον, ὡς καὶ ὁ ποιητὴς, Ἐκ νυκτῶν ἄνεμοι χαλεποί, δηλήματα νηῶν. τὸ οὖν ταχινώτατοι, αἱ ἡμέραι δηλονότι. τὸ δὲ, πολλὰ βοωμένῳ, σφόδρα ἐπικαλουμένῳ, ὥστε ἐλθεῖν τῶν ἡμέραν, διὰ τὸν παρόντα κίνδυνον. μὴ δὴ τῇ νυκτὶ πίστευε, μακραὶ γὰρ, βραδέως δὲ ἡ ἡμέρα ἐπιφαίνεται. τὸ δὲ ναύτῃ μαλακιόωντι, ναρκοῦντι τῇ ναύτῃ. μάλακη δέ ἐστιν, ἡ ἐν ψύχεσι χερῶν καὶ ποδῶν ἐπανάστασις, ἃ δὴ καὶ χίμετλα λέγονται. ἡ μαλακιόωντι τῷ εἰωθότι ἐν ψυχροῖς τόποις ἐν ὑγροῖς διάγειν. ἵνες δὲ μαλακιόωντι, τῷ ἐντὸς ἔχοντι τὰς χεῖρας ὠθοῦσαν. Ἀλλὰ καὶ ἔμπης) Τοῦτο ὡς πρὸς τοὺς ἑτοίμους ἀνθρώπους διὰ χρήματα ἀποκινδυνεύειν, καὶ μηδὲ τὸν τοιοῦτον καιρὸν αὐτὰ περαιτοῦσθαι. ὁ δὲ λόγος, ἀλλ' ὅμως φησὶν, εἰ καὶ τὰ τοιαῦτα κακά εἰσι τοῖς πλέουσι κατὰ θάλασσαν, ἐν τοσοῦτοι κίνδυνοι ἐπίρρυτοι), ἐσμός τις αὐτῶν ἐν χειμῶνι πλεῖ. τὸ δὲ, ἢ δὴ πάντ' ἐνιαυτὸν, ἀντὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἀντὶ τ πάντοτε, ἐν παντὶ καιρῷ τ ἐνιαυτῷ ἡ θάλασσα ἀμπερᾶ). σείρηνες δὲ, ναυσί. πορφύρᾳ, μελαίνῃ), κινεῖ) ὑπὸ τ νηῶν. ἡ δὲ αἴθυια ἐν τοῖς παραλίοις τόποις ζῇ. ὁμοίως δὲ καὶ τὰς αἴθυιας φησὶ τὰς ὅλας βιοῦσθαι ἐν τοῖς ὑγροῖς, δίκην αἰθυιῶν ἐν τῇ θαλάσσῃ ἀμφὶ παντὸς ἀμάχεσθαι. Πολλάκις) Ἐπὶ τοὺς χειμαζομένους πολλάκις ναυσὶν ἤμεθα, ὡσὲ τὸ πέλαγος βλέποντες, © φειδοποιοῦντες τὰς αἰγιαλὰς, δὺ χόμβροι λιμένος τυχεῖν. Οἱ δ' ἐπὶ πόρσω κλύζον)) Ἤγουν πόρρω εἰσὶν οἱ αἰγιαλοί. ὀλίγον δὲ ἀμφὶ ξύλον, ἀντὶ τ ὀλίγον ξύλον καὶ δύπελες διέρχῃ τὸν θάνατον, ἤγουν ἡ ναῦς. © Ησίοδος, Χρήματα δὲ ψυχὴ πέλεται δύστλοῖσι βροτοῖσι· καὶ Καλλίμαχος, Ἀλλ' ἐμὲ ἐὼν κύμασιν αἰθυίης ἐσῳκίσαθ.

Καὶ δ' ἀν' ὀπὶ πρετέρῳ γε θαλάσσῃ πολλὰ πέτ-
Τόξον ὅτ' ἠῷος καμὴ καὶ ῥύτορα τόξου (πονθὼς,
Ἑσπέριος καταδῦσα, πεποιθὼς ὑκέτι νυκτί.
Σῆμα δέ τοι κείνης ὥρης καὶ μοῖρος ἐκείνου,
Σκορπίος ἀντέλλων εἰν πυμάτῃ ὀπὶ νυκτός.
Ἦτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
Τοξότης, ὀλίγον ὃ πρόπερος ἴσα ναιετάασκε
Σκορπίος ἀντέλλων· ὁ δ' ἀνέρχεται αὐλίκα μᾶλλον,
Τῆμος καὶ κεφαλὴ κυνοσούριδος ἀκρὶς ἔπι νυκτὸς
Ὑψι μάλα ἐρχάμενον. ὁὃ, δύεται ἠῶθι πρὸ
Ἀθρόος ὠρίων, κηφῆνας δ' ἀπὸ χθονὸς ἔσω ἰόντας.
Ἔστι δέ τις πρετέρω βεβλημένος ἄλλος ὀϊστὸς
Αὐτὸς ἀΐτερ τόξου. ὁ δέ οἱ πρὸ παπτήνας ὄρνις
Ἀστέρον βορέω.

Καὶ δ' ἀν ἐπὶ πρετέρῳ) Κατὰ κοινοῦ, τῷ μεσῳ. πρετέρῳ δὲ μεσῳ τ αἰγοκέρωτος ὁ χειμών, ὃς ἐστὶ δεκεμβρίῳ, ὅτε ἐν τῷ τοξότῃ ὁ ἥλιος. ὁ δὲ νῆς, ἡ ἐν τῷ πρετέρῳ μεσῳ τοῦ τυβὶ, ἤγουν τ ἰανουαρίου· λέγει δὲ ἀμφὶ τὸν δεκέμβριον μῆνα· ἔτος γάρ ἐστιν ὁ πρὸ τ ἰανουαρίου· πολλὰ παθῶν κατὰ θάλασσαν, πρὸς τὸν ἑσπέραν ὁρμίζει· μακρὰ γάρ εἰσι τότε αἱ νύκτες, © ὅθεν ἔστιν εὐχερὲς τὸ ἀμπεραιοῦσθαι. Σῆμα) Ἐπειδὴ ἐν τῷ τοξότῃ ὢν ὁ ἥλιος, ὅτε ἐφ' αὐτὸν φαίνεται, ἐξ ἄλλων τεκμηρίων τ μεσοῦς, σοὶ δίδωσι καταλῆψιν. ὁ δὲ νῆς, τεκμήριόν σοι ἔσω τοῦ καιροῦ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἐστὶ μείων ἐκείνου, ὁ σκορπίος ἀνατέλλων ἐπὶ τῆς ἑξκαίτης νυκτὸς, ἤγουν ἐπὶ ὄρθης· ὥστε γὰρ ἐνδεκάτην καὶ δωδεκάτην ὥραν ὁ σκορπίος ἀνατέλλει· αὐτὸς γὰρ ὁ τοξότης ὑπὸ τοῦ ἡλίου πότε κατέχεται. ὁ γὰρ σκορπίος μικρὸν ὡς τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρεῖται, ἐπὶ τῆς ἀναβολῆς τοῦ ὀρίζοντος· τότε γὰρ συμβαίνει τὸ κέντρον τοῦ σκορπίου ἀνατέλλον θεωρεῖσθαι, καὶ τὴν τοῦ τοξότου κορωνίδα σωματώδεσιν τῷ κέντρῳ· μικρὸν δὲ ἔμπροσθεν τοῦ τοξότου βέλος κατεσκεύασται δίχα τόξου· πλησίον δὲ αὐτοῦ θεωρεῖται ὄρνις βορειοτέραν ἔχων τὴν θέσιν. Ὠρίων) Ἐπειδὴ συμβαίνει τροπικοῦ χειμῶνος ὄντος, συσάσεις νεφελωδεῖς γίνεσθαι, καὶ τὸ σκορπίον μὴ εἶναι ἐμφανῆ, πειρᾶται καὶ ἐξ ἄλλων φανερὸν ποιῆσαι τὴν τοῦ τοξότου κατάληψιν, καὶ φησὶν ὅτι ὁ ὠρίων τοτὲ μὲν καθύπερθε ἀφρόως παραδύεται τοῦ τῆς ἡμέρας. ὀλίγον γὰρ τοῦ τῆς ἡμέρας δύεται, δωδεκάτην ὥραν τῆς νυκτός. ἔστι δὲ ὠρίων λαμπρὸς ἀστὴρ νότου· καὶ ὁ κηφεύς, φησὶν, ἀπὸ χειρὸς ἐπ' ἰξυῖ· τὰ γὰρ λοιπὰ μέρη αὐτοῦ, ἄδυλα· πλείω δὲ ἐξεπίτηδες καὶ σημεῖα τοῦ χρόνου τίθεται, ὥστε κἂν εἰ μὴ πάντα τις δυνάμενος, ἀλλ' οὖν ἔνια ἐξ αὐτῶν πιστεύσας σώζεσθαι. Τῆμος δὲ) Ἡγοῦν ὅτε καὶ ἡ κεφαλὴ τῆς κυνοσούρου εἰς ὕψος ἀνατέλλει· ἡ γὰρ κεφαλὴ τῆς κυνοσούρου ἐπὶ τῇ ἰξυῖ τοῦ μεγάλης ἄρκτου ἐν τῷ ἀνατολικῷ λαμπρὸν βλέπει. τὸ δὲ αὖθις, ἀντὶ τοῦ μόνον, ὡς τὸ, Τυδείδης δ' αὖτός τοι ἐὼν σὺν μαίχοισιν ἐμίχθη.

-χεδόθεν δέ οἱ ἄλλος ἀήτης,
Οὐτάσας μεγέθει χαλεπὸς γέμεν ὃς ἄλλος ἐλθεῖν,
Νυκτὸς ἀταρχομένης· καί μιν καλέουσιν ἀήτην.

Σχεδόθεν) Παράκειται δὲ αὐτῷ ὄρνις ἕτερον, ὃν ἡ σωζυγὺς τῷ μεγέθει λειπόμενον ἐκείνου· χειμερινώτατον δὲ νενόμισται καὶ τὴν ἑῴαν αὐτοῦ ἀνατολήν· καλεῖται δὲ ἀήτης. σὺν ἑσπέρᾳ μὲν σὺν τοῦ τοξότου, φησὶν, ἔστι δὲ καὶ ἕτερον ὀϊστὸς σὺν τὴν ὑπὸ τὸν τοξότου σεσοβολημένον ἡτοιμασμένον. τὸ σὺν τοῦ προκειμένου δὲ ὀϊστοῦ καὶ τοῦ αἰετοῦ, οὐκ ἀπὸ τινος διδάσκει σεσημασμένος, καὶ τὸ τοῦδε μόνος τὴν σωκήφαν παραλείψας. Χαλεπὸς γέμεν) Τὴν ἑῴαν δὲ ἀνατολὴν ποιεῖται ὁ ἀήτης, μέγαν χειμῶνα σημαίνει, ὃ ἡλίου ὄντος τότε σὺν τὰ μέσα τοῦ τοξότου, ὅτε λοιπὸν ἀνατέλλοντος ἡλίου σὺν τῷ τοξότῃ, καὶ αὐτὸς ἀνατέλλει σὺν αὐτοῖς. ὁ δὲ λόγος, χαλεπὸς ἔσται καὶ δεινὸς ἀνατείλας, περιόσης νυκτός. ἕως γὰρ ἀνατέλλει σὺν τῷ τοξότῃ ἐν τῷ χαώδει μέσῳ, ἤγουν τῷ δεκεμβρίῳ, χειμῶνός ἐστι σημεῖον· διὸ εἶπε, τοῖς πλέουσι χαλεπὸς, ἀφ' οὗ τότε κρύος. ὃν καλοῦσιν ἀήτην ἐτυμολογοῦντες, παρὰ τὰς ἀήτας, ἃ τὰ χειμερινὰ πνεύματα, ἃ δηλοῖ χειμερινὸς ἀνατείλας.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Δελφὶς δ' ὑ μάλα πολλὸς ὑπερέχῃ ἀγκερῶνι,
Μεσσόθεν ἠερθείς· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
Γλωΐσσα, πρὸς βολάδην δύο, παρ δύο πεπλαγχθαι.
Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται· τὰ δὲ νόθα τέλλεται ἄλλα.
Πολλὰ μεταξὺ νότοιο καὶ ἠλίοιο κελεύθου.

Δελφὶς δ' οὐ μάλα πολλὸς) Πάλιν τὸν δελφῖνα, ἀπὸ τῶν ἐγνωσμένων διδάσκει ἀγκέρωτον· ὑ γὰρ σφόδρα, φησὶν, ἔκλαμπρος. ἐπιφέρει οὖν, μεσόθεν ἠερθείς, ὅτι τὸ μέσον αὐτῶν σφόδρα σκοτεινόν ἐστιν. ἐπικαταφέρεται οἶν τῷ ἀγκέρωνι ὁ δελφὶς, ἀνάστερος τὰ πολλὰ, τέσσαρας ἔχων ἀστέρας ἐπισήμους ἐν τῷ παραλλήλῳ κειμένους. φησὶν οὖν, τὰ δέ οἱ περὶ τέσσαρα κεῖται γλωΐσσα. ἔοικε δὲ ῥομβοειδὲς ἔχειν τὸ σχῆμα. ποιητικῶς δὲ εἶπε τὰς ἀστέρας γλωΐσσα· γλωΐσσα γάρ ἐστιν, ἡ ἐν τῷ ὀφθαλμῷ κόρη. κατηστέρισται δὲ εἰς τιμὴν τοῦ Ποσειδῶνος· ἐρασθέντος γὰρ αὐτοῦ τῆς Ἀμφιτρίτης, συνήργησε τῷ γάμῳ. Ἕρμιππος δέ φησιν, ὅτι ἐπὶ Ἀπόλλωνος τιμωρήσασθαι Κρησὶν εἰς Δελφούς· ἔνιοι δὲ, τὸν κιθαρῳδὸν εἰς γλῶτταν Ἀρίονα τὸν κιθαρῳδὸν εἰς γλῶ. μέχρι δὲ τούτου τὰ περὶ τὸν βορέων ἀστέρων· μέτεισι δὲ ἐντεῦθεν ἐπὶ τὰ νόθα. Καὶ τὰ μὲν οὖν) Ἐπλήρωσε πάντα τὰ ἐν τῷ βορείῳ μέχρι τοῦ ζωδιακοῦ κύκλου, καὶ αὖθις τὰ δώδεκα ζῴδια, καθά φησι, ταῦτα πάντα τὰ περιεχόμενα μεταξύ ἐστι τοῦ βορείου τῆς τοῦ ἡλίου πορείας· ἵνα λέγῃ μέσον βορείου καὶ τοῦ ζωδιακοῦ κύκλου. ἀλήσιον δὲ, ὅτι ὁ ἥλιος εἰς τὸν πλανήτων ἐστί· τὰ μὲν τοι φαινόμενα, ἀπλανῆ. Ἠελίοιο κελεύθου) Ἡλίου κέλευθός ἐστιν, ἡ διὰ μέσου τῶν ιβ'. ζωδίων τῶν ἐναντίας τῇ παντὶ κινήσεως. ἄλλως δὲ αὐτὸν εἶπεν, ὃν ἀπλήτως· ἀνώμαλος γάρ ἐστι καὶ βραδεῖα. ἀγόμενος δ' ὁ ἥλιος ὑπὸ τοῦ ἐναντίου φορᾶς, εἰς τὰ ὀπίσω καπὶ μικρὸν ὑπονοστεῖ, καὶ ταύτην αὐτοῦ ἰδίαν κίνησιν λέγουσιν ἄνισον, ἐν ἰσημερίαις καὶ ἀφελήμασι χρόνοις θεωρεμένην. Νόθα τέλλεται) Τὰ νότια τοῦ κάτω κεῖται, ὡς περὶ τὸ κλίμα τοῦ κόσμου, ὡς τοῦ ἄνω τὰ βόρεια, ἀφ' οὗ ἐξάρχεται. ὁ δὲ νοῦς, τὰ δ' ἄλλα ἄστρα κάτω τέλλεται, καὶ ἔστι μεταξὺ τοῦ τε νότου καὶ τοῦ ζωδιακοῦ κύκλου, ἃ ἄλλα ἐν ἄλλοις τόποις κέχυται. τὰ δὲ, ὑπὸ ταῦτα λέγει) Φέρεσθαι μεταξὺ νότου καὶ τῆς τοῦ ἡλίου κελεύθου.

Λοξὸς μὲν γὰρ θερμὸν ὑπωκέκλιται αὐτὸς
Ὠκεανὸν· μὴ κεῖνον ὅλως καθαρὴν "ὅπι νυκτὶ "ἐνὶ
Ὑγρὸν πεπτηῶτα πρέρχεται, ἀλλὰ πεποίθοι,
Οὐρανὸν

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Οὐρανὸν εἰσωνιδὼν προφερέστερα ἐπήσασθαι.

Λοξὸς μὲν) Περὶ τὸν ὠρίωνα νῦν λέγει· πάντα γὰρ τὰ ἐν τῷ βορείῳ καὶ τὰ ἐξ ἐκείνων διδύξας ιϛ'. ζώδια, ἔρχεται ἐπὶ τὰ νότια· καὶ πάντων τῶν ἐν αὐτῷ διδασκαλίαν ποιούμενος, ἀπὸ τοῦ ἐπισημοτάτου καὶ λαμπροτάτου ὑπὲρ πάντα τὰ νότια ἤρξατο, ὅ, περ καὶ τῆς Ὁμηρικῆς χρήσεως ἔτυχεν· ἐν βραχεῖ γὰρ ὁ ποιητὴς ἀπὸ δύο ζωδίων ἐπισήμων, πάντα νότια καὶ τὰ βόρεια ἐδήλωσε, καὶ ὅτι ὡσαύτως δύσεώς ἐστιν ἀπὸ τῆς ὀψεως τὸ ἄρκτος μέχρις ὠρίωνος, ἀστρονομικῶς εἰπών, Ἥτ' αὐτὸν στρέφεται καὶ ῥ' ὠρίωνα δοκεύει. εἰκότως οὖν ἐν τοῖς βορείοις ἐκείνης πρῶτον μνήμην ποιησάμενος, νῦν ἐν τοῖς νοτίοις τὸν ἀντικρυμμένα μνημονεύει, ἐπεὶ τὸν ἀεὶ τῶν πόλων ὑπεριφέρειαν τέμνων φαίνεται. ἐν ἀμφοτέρῃς δὲ κείμενος τοῖς ἡμισφαιρίοις, ἐπέχει μοιρῶν κατὰ μῆκος ιζ'. κατὰ δὲ πλάτος λ'. μέμφοιτο δ' ἄν τις Ἀράτῳ, ὡς μὴ ἀκριβῶς ὑποτεθειμένῃ τῇ ὠρίωνος θέσει· ἐ γὰρ ὑπὸ τὸ διχοτόμημα τοῦ ταύρου ἐστὶν, ἀλλ' ἔτι τοῦ ταύρου ἀνατολικώτερός ἐστιν. ἆρ' οὖν ἐν πᾶσι τοῖς ἀκριβείαν ἐνδέχεται μῦθος, κατὰ τοῦτο μόνον ἐσφάλη; ἐδαμῶς. ἀλλὰ λέγομεν ὅτι νῦν μὲν λέγει, τοῖς ὑπερφαίνουσι καὶ τὸ ἀμφιμεσημβρινὸν χωρίον, ὑφ' ὃ τμῆμά ἐστιν ὁ ὠρίων· ὁ γὰρ πᾶς ζωδιακὸς κύκλος δώδεκα τμημάτων διαιρεῖται, ὧν διήργεται ἑκάστου ἕκαστον ζῴδιον· τομὴν οὖν λέγει, τὸ ἀμφιτέμνον ἕκαστον μέρος τῶν ζωδίων· ὑπὸ τριῶν γὰρ τμῆμά ἐστιν ὁ ὠρίων. τοῦτον δὲ Ἡσίοδός φησι, Βρύλλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι· δωρεὰν δὲ ἔχειν ὧδε τὸ πρὸς ἑσπέρας τῶν κυμάτων πορεύεσθαι. ἐλθὼν δὲ ἐς Χίον, Μέροπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα· τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα, ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἁλιτεύοντα τῷ Ἡφαίστῳ συμμίξαι, ὃς αὐτὸν ἐλεήσας, δίδωσιν αὐτῷ παιδαγέτην Κυδαλίωνα· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε, τὰς ὁδοὺς αὐτῷ σημαίνοντα. ἐλθὼν δὲ εἰς ἀναβολὰς, ἐ ἡλίῳ συμμίξας, ὑγιάθη· ἔπειτα ἐπὶ τὸν Οἰνοπίωνα ἦλθε, τιμωρήσασθαι μέλλων. ὁ δὲ μαθὼν, ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν, εἰς Κρήτην ἦλθε, ἐ τῇ Ἀρτέμιδι σύνθηρος ἦν. ἐπιχρήσας οὖν ἐ ταύτῃ βιάσασθαι, ὑπὸ σκορπίου τελευτᾷ, ἐτελεύτησεν. Οὐρανὸν εἰσωνιδὼν) Ὁ ἀναβλέψας, φησὶν, ἐν καθαρᾷ, ἐ παντελῶς νυκτὶ εἰς τὸν οὐρανὸν, οὐκ ἂν εὕροι ἄλλο λαμπρότερον ὠρίωνος ἄστρον. ἢ τοῦτ' εἶπεν, ἐπειδὴ μεσουρανοῦντος ὠρίωνος, τὰ λαμπρότατα τῶν ἄστρων ὑπὲρ γῆν ὁρᾶται, ταῦρος, ἡνίοχος, διδύμοι, καρκίνος· τὸ γὰρ ὕψος πεπληρωται, μεσουρανοῦντα σημαίνει. τὸ δὲ παρέρχεται ἀόριστόν ἐστιν, ὅσις αὐτὸν παρέρχεται), μὴ νομίσῃ ἄλλα αὐτοῦ κρείττω θεάσασθαι. τὸ δὲ ὑποκέκλιται, ἀντὶ τοῦ, οὐκ ἐξορθωμένος ἐστὶν, ἀλλὰ χῆμα ἔχων κυνηγετικὸν, καὶ ὡσαύτως ἐπισπεύδων κυνηγετεῖν· ὡς συντέχειν τῇ ἰσορίᾳ καὶ τὸ καταστερισμόν. ἔχει γὰρ τὴν δεξιὰν ὡσαύτως ῥόπαλον φέροντα, καὶ ἐπιβλέπει, ἀφ' οὗ νόμιζος ἀσφὴν ἐνδέχνυται.

Τοῖος

Τοῖος ϗ φερυεὺς ἀφεσμένῳ ἐπὶ νώτῳ
Φαίνε᾽ ἀμφοτέρωσι κύων ἐπὶ ποσὶ βεβηκώς,
Ποικίλος, ἀλλ᾽ ὁ πάντα πεφασμένος, ἀλλὰ κατ᾽
Γαστέρα κυάνεος πεπιτέλε᾽. ἡ δέ οἱ ἄκρη (αὐτὼ
Ἀστέρι βεβλη᾽) ἀφνὴ γένυς, ὅς ῥα μάλιστα
Ὀξέα σφειδᾷ· καί μιν καλέουσ᾽ ἄνθρωποι
Σείριον· οὐκ ἐπὶ κεῖνον ἅμ᾽ ἠῴῳ ἀνιόντα,
Φυταλιὴ ψεύδει᾽, ἀναλδέα φυλλιόωσα·
Ῥηϊδίως δ᾽ οἶον ἔκριν᾽ ἀφ᾽ ἑστίας ὀξὺς ἀίξας.
Καί τε μιν, ἔρρωσεν· τῷ δέ, φλόον ὤλεσε πάντα.
Κείνου ϗ καπόντος ἀκούομεν· οἱ δέ οἱ ἄλλοι
Σῆμ᾽ ἔμενα μελέεσιν ἐλαφρότεροι πεπύκνται.

Φαίνεται) Κάτω τῆ ὠρίωνος· νοτιώτερός ἐστιν ὁ κύων, ὁ σείριος καλούμενος, ὃν Ὠρίωνος κύνα λέγουσι κατ᾽ ἐπίκλησιν, ὡς φησιν Ὅμηρος, Οὗ τε κυν᾽ Ὠρίωνος ἐπίκλησιν καλέουσι. τὸ δὲ φρεσὶ, ὅτι κυνηγῷ ὄντι Ὠρίωνι, συνηκολούθησε ὁ κύων, ϗ ἦν αὐτῷ φύλαξ. τὸ δὲ, ποσὶν ἀμφοτέρωσιν, ἤτοι τοῖς ὀπισθίοις· ἐπ᾽ αὐτῶν γὰρ βεβηκώς ἐστιν· ἢ ἀμφοτέρωσι τοῖς ἐμπροσθίοις, ὃ ϗ μᾶλλον· τὰ γὰρ σφυρὰ αὐτοῦ τὰ ποδῶν τὰ ὀπισθίων, ἐφ᾽ ὧν βέβηκεν, ἀφανῆ ἡμῖν, ϗ ὑπὸ πάνυ ὀλίγων φαίνεται. Διὰ τοῦτο ἀμφοτέρωσι λέγει, τοῖς ἐμπροσθίοις, ϗ δίδωσι προδήλου μᾶλλον τὴν καταληψιν. νοείσθω δέ νῦν τὸ βεβηκὼς, οἷον ὁρμῶν ϗ ἀνατείνων τοῖς ἐμπροσθίοις ποσί· μὴ γὰρ τῆς κεφαλῆς, οἱ πόδες ἀνατείνουσιν οἱ ἐμπροσθίοι· οἱ δὲ ἄλλοι τὸ λοιπὸν αὐτοῦ ἀποπληροῦντες σῶμα ἀστέρες, ἐλαφροί εἰσιν ἀνεπαχθεῖς εἰσὶν ἡμῖν. Ποικίλος, ἀλλ᾽ ὁ πάντα πεφασμένος) Τὸ ποικίλος, προσκειται, ὅτι ποικιλίαν ἀστέρων ἐστὶν ἰδεῖν· ἔχει γὰρ ϗ ἀμυδροὺς ϗ λαμπροὺς ἀστέρας προσφιλῶς· ὅτω γὰρ ποικιλία λέγεται· τὸ δὲ παραλλήλους, εἴπομεν, ὅτι ὁ δεῖ εἶναι μήνες λαμπροὺς, οὔτε τὸ ἀναπαλιν, ἀλλὰ δεῖ κρᾶσιν εἶναί τινα. ἔστιν οὖν ὁ κύων πεποικιλμένος· ἐξ ὧν ϗ αὐτὸς ἐπιφέρει, ἀλλ᾽ ὁ πάντα πεφασμένος· ὁ γὰρ σὺν μόνων συγκείμενος λαμπρῶν ἀστέρων, ἀλλ᾽ ἔχων ϗ τινὰς ἀμυδρούς· εἰκότως ἂν ποικίλος ἐστίν· ἢ ποικίλος, διὰ τὸ ἐπ᾽ ἄκρας αὐτοῦ τῆς ῥινὸς ἀστέρα, ὃς ἰδίᾳ σείριος καλεῖται, παρ᾽ ὅσον στίλβειν αὐτοῦ τὸ φῶς, καὶ ἔστι πορφυρίζον σὺν τῷ παλμῷ τῆς λαμπηδόνος. κατὰ τοῦτο οὖν ποικίλος, καθὸ τὰς ἀστεροαμαρυγὰς, ὡσανεὶ πορφυριζούσας· ὁ γὰρ οἱ τὴν γαστέρα ἀπο-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἀποπελοιῶπες ἀστέρες σφόδρα λαμπροί. ὁστις ἔτος ὁ ἀστὴρ ὁ Ὠρίωνος κεῖται τῇ χύσει, ὀξέα καὶ σφόδρα σιλβόντως τὸ φῶς ἀποπέμπει. σπειρά οὖν, ἀντὶ τοῦ τὸ φῶς ἀφίησι σεσηρότως. ἐν ᾧ γὰρ ἐαυτῷ πεπυκνωμένῳ ἔχει ὁ ἀστὴρ τὴν λαμπηδόνα, ἀλλὰ διαχάσκουσιν, καὶ ὡς ἂν παλμῷ ἔοικεν. Οὐκ ἐπὶ) Σὺν ἀνατέλλει τῷ ἡλίῳ ὁ Σείριος, ὅτε γίνεται εἰς τὸ θερινὸν τροπικὸν ἐν τῷ καρκίνῳ, ὃς καὶ ἐπιφέρων ἅμα, ὃς ἐστι κατὰ Ῥωμαίους ἰούλιος, ὅτε καὶ φέρει πυρετὸν ἀνθρώποις βροτοῖσι. τελειοῦται δὲ σφοδρὸς γινόμενος τοῦ καύματος, πάντες οἱ εὐθύφοροι καρποὶ πέπειροι γίνονται. ὃ δὲ, οὐκ ἐπ ἐκεῖνον τὸν σείριον, ἐλλειπισμός ἐστιν, ἀντὶ τοῦ, ἐκείνου ἀνιόντος ἅμα ἡλίῳ, ψεύδονται οἱ ἄρχειν, ἀναλόγως φυλλοροῦσιν, ἀναυξῆ διάκεινται. ἀλλὰ, τὰ μὲν ἰσχυρὰ, διανέχοντα τοῖς τὸ καῦμα, τῶν καρπῶν πέπειρα ποιεῖ, τὰ δὲ ἐξασθενήσαντα διαφθείρει. ἀκηδόμεθα δὲ, ἀντὶ τοῦ αὐθανόμεθα· ἀνατέλλοντος γὰρ αὐτοῦ ἀντιλαμβανόμεθα, καὶ ὅτε τροπὴν ποιεῖται καὶ δύσιν, πάλιν γινώσκομεν. ἐπειδὴ γὰρ ἔτος ὁ ἀστὴρ ἐστὶν ἐν παντὶ τῷ κυνὶ ἐπισημότατος, φησὶν ὅτι καὶ ἀνατολῆς καὶ δύσεως αὐτοῦ αὐθανόμεθα· οἱ δὲ ἄλλοι οἱ τοιοῦτον αὐτὸν ἀποπληροῦντες σῶμα ἀστέρες, ἐλαφροὶ καὶ ἀνεπαχθεῖς εἰσιν ἡμῖν.

Ποσὶν δ' ὠρίωνος ὑπ' ἀμφοτέρῃσι λαγωός,
Ἑρμείης ἤματα πάντα διώκεται. αὐτὰρ ὄγ' αἰεὶ
Σείριος ὀξόπιθεν φέρεται μετόπισθε ἰοικώς,
Καί οἱ ἐπαντέλλῃ, καὶ μιν καπόντα διώκῃ. ὀκνοῦντα

Λαγωὸς) Εὖ καὶ σεσημένως ἔχουσα ἡ τῶν ἄστρων θέσις· τὸν γὰρ κυνηγῶ εἰκότως ὁ κύων φερωνύμως, καὶ ὁ λαγωὸς ὑποπόδιος τῷ κυνηγῷ. ὑπὸ οὖν τοῖς ποσὶ, φησὶ, τοῦ ὠρίωνος, λαγωὸς ὡσανεὶ διωκόμενος ὑπὸ τῶν κυνῶν, ἃ σεσημασμένως τὰ ἄστρα. κατηστερίσθαι δὲ αὐτὸν λέγουσιν ὑφ' Ἑρμοῦ, διὰ τὴν ταχυτῆτα καὶ τὴν πολυγονίαν· μόνῳ γὰρ τούτῳ ἐδόθη κύειν σκύλακας, ὧν τὰ μὲν πίπτει, τὰ δὲ ἔλαι

Νῆες, ὅτ' ἂν δὴ ναῦται ἐπιτρέψωσι κορώνῃ, ἀπο-
Ορμον ἐσερχόμενοι· τὴν δ' αὐτίκα πᾶς ἀνακόπτῃ
Νῆα, παλιρρόθιον δ' ἂν καθάπλεται ἠπειρόνδε.
Ὡς ἦ γε φρύμνηθεν ἰησονὶς ἕλκεται ἀργώ.
Καὶ τὰ μὲν ἠερίη κε ἀνάστερος οἷα παρ' αὐτὴν
Ἰσὸν ἀποφθορῆς φέρεται, τὰ δὲ πᾶσα φαφνή·
Καί οἱ πηδάλιον κεχαλασμένον ἐς ἅλα πρῷραν
Ποσσὶν ὑπὸ δεξιοῖσι κυνὸς παρέρριφθεν ἰόντος.

Ἡ δὲ κυνὸς μεγάλοιο κατ' ἀρχὴν) Πρὸς ἀντιδιαστολὴν τοῦ μικροῦ κυνὸς, ὃς καλεῖται προκύων, ἀφ' τὸ μὴ πρὸ τοῦ σφαίρᾳ ἀνατέλλειν, ἀλλ' ὀπίσω τὸν μικρὸν κύνα ἐπίκειται καὶ ὁ λαιλαξίας. ὁ δὲ νοῦς, ὅπισθεν δὲ ὁ σφαῖρα κυνὸς ἡ ὀργὼ φαίνεται, οὐκ ἔχουσα τὴν θέσιν κατὰ τὴν φύσιν, ἐπειδὴ ἐ τὴν προφορὰν ἔχει προηνεγκυκῖαν καὶ προτελέσασαν, ὡς ὤφειλε· ἀφ' ἧ τοῦτο καὶ πρώρα καλεῖται κατὰ Ηρωδιανὸν, ἐτυμολογοῦσι αὐτὴν ἀφ' τὸ προϊέναι τὸ προπορεύεσθαι, προΐρα τις ἔσται καὶ πρώρα, προεγκεχαραγμένον ἔχουσα τὸ ι. ἐπεὶ οὖν τὴν προφορὰν οὐκ ἔχει ἡ ὀργὼ, φησὶν ὅτι πρὸς τὸ ἐναντίον πρυμνόθεν ἕλκεται, ἤγουν ὅπισθεν φέρεται ἡ ὀργὼ πρὸς πρύμναν, ὁμοίως ταῖς καταπρυμνέναις τῶν νηῶν πρὸς πρύμναν· καὶ ἔστιν ἡμίτομος. τὸ δὲ ἕλκεται, ἴσως ὡς σκάφος· ἢ ὅτι ὑπὸ τοῦ οὐρανοῦ προσάγεται. οὐκ εἰς δέον δέ, φησιν, αὐτῆς ὁ πλοῦς, ὅτι μὴ ἐπὶ πρώραν, ἐπὶ πρύμναν δὲ φέρεται. κορώνη δὲ, τὸ τῆς πρύμνης ἐπικαμπές· ὁ δὲ Ἄρατος λέγει τὴν πρύμναν, αὐτήν· ὅθεν Ὅμηρος κορωνίδας ναῦς· ἢ εἰς ἐναντίον φέρεται, ὡς ἐπὶ τὴν πρύμναν προπεῖσα, ὥστε καὶ ἄλλας νῆες ἐπὶ τὴν πρύμναν προέφονται, μόνον ὅταν προσορμίζωνται, ἵν' ᾖ, ἡ δὲ πρύμνα ὡς ἐπὶ γῆν ἐν τῷ οὐρανῷ εἰσέρχεται· ὅθεν καὶ τὰ πρυμνήσια δεσμοῦσι· καὶ γὰρ, καὶ ἐπὶ τῶν ἄλλων νηῶν, ἐπειδὰν οἱ ναῦται ἀποστρέψωσι τὴν κορώνην, ἤγουν τὴν πρύμνην ἐν τῷ ὁρμίζεσθαι, τότε πᾶς αὐτὴν τὴν ναῦν ἀνακάμπτει καὶ ἀνορθοῖ εἰς τὸ ἐναντίον, ἵνα μὴ ὁρμῇ ἐχησαμένη ἡ ναῦς, ἀβρόως ἐμπέσῃ τῇ γῇ. εἰς ἐμπίσω οὖν ἠρέμα κωπηλατοῦντες κατ' ὀλίγον προσορμίσαι ποιοῦσι. διὸ καὶ αὐτός φησι, Παλιρρόθιον δὲ καθάπλεται ἠπείροιο, ἤγουν τῇ εἰς ἐναντίον κωπηλασίᾳ καθορμίζεται τῇ ἠπείρῳ. ἠερίη δὲ, ἀντὶ τοῦ ἀνάστερος ἡ ναῦς· ἰησονὶς δὲ ἡ ναῦς τοῦ Ἰάσονος· κατηστερίσθη δὲ αὕτη ἀφ' τὴν Ἀθηνᾶν, ὅτι προφήτης ναῦς ἐδείχθη παρ' αὐτῆς. ἀλλ' εἰς ἐναντίον φέρεται. Καί οἱ πηδάλιον) Τὸ πηδάλιον κεῖται ἀφ' ὃ τῶν ὀπισθίων ποσὶ ἡ κυνὸς, ὅτι ὁ κύων τῆς ὀργῆς ἔμπροσθεν πορεύεται. κεχάλασται δὲ τὸ πηδάλιον αὐτῆς, ὥστε ὁρμιζομένης νηὸς, ἐπειδὴ πρύμναν ἔχει μόνην, ὡς ὥστε διόλου εἰσορμιζομένη ἐσί.

Τὼ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Τῳ δὲ κὴ ὑπ' ὀλίγην περ ὑποστρέψῃ πτερυγὴν
Ἀνδρομέδῃ, μέγα κῆτος ἐφορχόμενον καταπέπτῃ·
Ἡ μὲν γὰρ θρήϊκος ὑπὸ πνοιῇ βορέαο
Κεκλιμένη φέρεται· ὁ δὲ οἱ νότος ἐγγὺς ἀέντων
Κῆτος, ὑπὸ κριῷ τε καὶ ἰχθύσιν ἀμφοτέρῃσι
Βαθὺν ὑπὲρ ποταμοῦ βεβλημένον ἀστερόεντος.

Πεπτηῶσαν ἀνδρομέδην) Διαλαμβάνει περὶ τοῦ κήτους, ὃ Ποσειδῶν ἔπεμψε τῷ κήτει, ἐπὶ τῇ ἀνδρομέδης, καὶ διδάσκει αὐτὸ τὸ κῆτος ἀπό τινων προτεγνωσμένων τῶν τε κέλου καὶ τῶν ἰχθύων. ὁ δὲ νοῦς, τὴν δὲ ἀνδρομέδην καθ' ὃν πλὴν πόρρω τοῦ κήτους ἔσαν, ὅμως συμφοβεῖ. πεπτηῶσαν δὲ, ἤγουν ὡς προσδεδέχθαι ἑτοίμην ἔσαν τῷ κήτει, ἢ ὅτι ἔμφασιν προείχε τοῦ δέους· ἀπερράφη γὰρ καὶ σὺν ἀφορᾷ πρὸς τὸ κῆτος, ἐπὶ δὲ τὰ βόρεια τὴν ὄψιν φέρει. Ἡ μὲν γὰρ θρήϊκος) Τὸ διάστημα τοῦ κήτους καὶ τῆς ἀνδρομέδης φησίν· ἡ μὲν γὰρ ἀνδρομέδη, βόρειός ἐστι· τὸ δὲ κῆτος, πολέμιον τῇ ἀνδρομέδῃ, ὅπερ θηρίον εἶπεν εἰς ζῳνόπια ὄν, κάτω τοῦ κέλου καὶ τῶν ἰχθύων ἀμφοτέρων, ὀλίγην ἄνω κείμενον τοῦ ἀστερώδους ποταμοῦ· ἔστι γὰρ πισύημα νεφελωδὲς ἐξ ἀστέρων, ὕδατος ῥύσιν μιμούμενον, ὅπερ φησὶν ἠελβανοῦ λείψανον· καὶ γὰρ ἐκεραυνώθη, μεταιχὲν τοῦ κεραυνοῦ τοῦ Φαέθοντος· εἰς αὐτὸν γὰρ κατηνέχθη ὁ Φαέθων ὑπὸ Διὸς καταφλεχθείς, ἀφ' οὗ τὸ ἐπιβῆναι τῆς τοῦ ἠλίου ἅρματος.

Οἷον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται
Λείψανον ἠελβανοῖο πολυκλαύστου ποταμοῖο. "καὶ-
Καὶ δ' ὃ μὲν, ὠκείωνος ὑπὸ σκαιὸν πόδα τείνει·
Δεσμοὶ δ' ἀργαῖοι, τοῖς ἰχθύες ἄκροι ἔχονται,
Ἀμφὼ συμφορέοντες, ἀπ' ἀγραίων καλιόντες·
Κητείης δ' ὄπιθεν λοφιῆς "ὄπιμιξ φορέονται," "ἀναμιξ
Εἰς ἓν ἐλαυνόμενοι, ἐνὶ δ' ἀστέι πειράνονται
Κήτεος, ὃς κείνῳ προφερὴς ὄπιθεν ἀκούει·
Οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι ἀγλαΐῃ,

Μεσσόθι

Μεσόθι πηδαλίῳ καὶ κήτεος εἰλίσσονται,
Γλαυκοῦ πεφυκῶτες ὑπὸ πλευρῇσι λαγῶνος
Νώνυμοι· ἀλλὰ τοί γε πετυγμένῳ εἰδώλοιο
Βεβλέαται μηχέεσσιν ἐοικότες, οἷά τε πολλὰ
Ἐξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
Ἀνυμένων ἐτέων. τὰ δὲ πῆς ἀνδρῶν ὑκέτ' ἐόντων
Ἐφράσατ' ἠὲ ἐνόησεν ἅπερ τ' ὀνομασί καλέσσαι,
Ἦλιθα μορφώσας· ὑ γὰρ κε δυνήσαιτο πάντων
Ὅσσά τε κεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι. "οἵη δὴ
Πολλοὶ δὲ πάντη, πολέων δ' ὑπὲρ ἶσα πέλονται·
Μέτρά τε καὶ χροιή, πάντες γέ μιν ἀμφιέλικτοι.
Τῷ δ' ὁμηρέας γε ἔεισατο ποιήσασθαι
Ἀστέρας, ὅφρ' ὑπαὶ ἄλλῳ ὑδαχείμενος ἄλλος
Εἴδεα σημαίνοιεν· ἄφαρ δ' ὀνομαστὰ γένοιντο
Ἄστρα, καὶ ὑκέτι νῶϊ ὑπὸ θαύμαλι τέλλεται ἀὴρ·
Ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
Φαίνονται· τὰ δ' ἔνερθε διωκομένοιο λαγωοῦ
Πάντα μάλ' ἠερόεντα, καὶ οὐκ ὀνομαστὰ φέρονται.

Οἷον γὰρ κἀκεῖνο) Θαυμασικῶς ἐδέξατο ἐν τῷ κήτους διδάξαι τὸν ὠδαχείμενον ποταμόν· καὶ τὸ μὴ ἠελδανοῦ καλούμενον λείψανον, ὑπὸ τὸν τοῦ ὠρίωνος κεῖται ἀριστερὸν πόδα. οἱ δὲ ἱμάντες δεσμοὶ τῶν ἰχθύων, οἷς ἀμφότεροι δέδενται, συμφερόμενοι) καὶ ἐπιψαύσει τοῦ κήτους ἀκμῆς· ἡ γὰρ τοῦ ἠελίου ἀκμὴ, ἡ πρὸς τὸν ὠρίωνα, σελινοειδὴς ἔσται, ἄκρως ἐπιψαύει ἀμφοτέρων τῶν δεσμῶν, οἷς καὶ αἱ τῶν ἰχθύων ἱμάντες δέδενται). ἔστι δὲ ὁ ἠελδανὸς τῆς γαστρὸς τῆ Ἰταλίᾳ θαλάσσης. καλεῖται) δὲ ὑπὸ τῶν ἐγχωρίων × βύχερνος. αἰγύπτιοι δέ φασι, νεῖλον εἶναι τὸν κατησφαλισμένον. Κητείης δὲ ὅπιθεν λοφιῆς ἀναμίξ φορέουσι) Οἱ δεσμοὶ δηλαδὴ, εἰς ταὐτὸν περατούμενοι, καὶ εἰς τέλος ἐρχόμενοι. τὸ δὲ ὃς κεῖνος, ἀντὶ τοῦ ὅστις ἀστὴρ ἐπικεῖται τῇ ἀκμῇ τοῦ σφηνειδοῦς κήτους. ὁ γὰρ

× Cod. βύσινος ἐπὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἐπὶ τῆς ἀκάνθης ἀστὴρ, τέλος ἐστὶ τῶν δεσμῶν τῶ ἰχθύων. Οἱ δ' ὀλίγῳ μέτρῳ) Μέτρον λέγει τὸ μέγεθος. λέγει οὖν, ὅτι μικροί εἰσι καὶ ἀμυδροί. Φησὶ δὲ τῶν νοτίων ἀστέρων τῶν μεταξὺ τοῦ πηδαλίου καὶ τῆς κήτους διηκόντων κατὰ τῶν τοῦ λαγῳοῦ πλευρῶν. οὗτοι δὲ οἱ ἀστέρες ὑπὸ μὲν τῶν παλαιῶν ἀστρονόμων οὐ διετυπώθησαν, οὐδὲ εἰδώλοις πεποίωνται, ὡς τὰ ἄλλα τὰ περιεχόμενα· ἀλλ' ἐπειδὴ ἀφανεῖς εἰσιν, ὄντες σφόδρα νότιοι, διὰ τοῦτο οὐ τυπώσεως ἔλαχον παρὰ τῶν παλαιοτέρων. οὕτω δὲ αὐτῶν φιλῶς μνημονεύει, ὥσπερ καὶ μή τινας ἐν τοῖς νοτίοις εὑρὼν τοὺς ἀστέρας θεασαμένους, πλανηθείσης. τίνες οὖν εἰσιν οἱ ἀστέρες οὗτοι, οὐ λέγει, ἀλλὰ διδάσκει ὅτι μάτην φέρονται. ἀμυδροὶ δέ εἰσιν οἱ νοτιώτεροι ἀστέρες, ἐπειδὴ περιγειότεροί εἰσι τῶν βορείων· αἱ δὲ τῆς γῆς ἀναθυμιάσεις διδόασι, μαρτυροῦσι τοὺς ἀστέρας. Οὐ γάρ τοι γε τετυγμένος) Οὐ γὰρ μορφωθέντος εἰδώλου ἐπὶ τοῖς μέλεσιν, οἷα πολλὰ εἴδωλα τὰ περιεχόμενα πάντα ἐφεξῆς καὶ κατὰ ζῴδιον κείμενα, εἰνύχ τὰς αὐτὰς ὁδοὺς ἐπιγινομένων τῶν χρόνων. ἐδίδαξεν οὖν ἡμᾶς, ὅτι εἰδωλοποίησαν οἱ παλαιοὶ τοὺς ἀστέρας, ὥσπερ καὶ δύσκολόν τινες εἶναι· οὗτοι δὲ οὐκ εἰδωλοποιήθησαν, ὡς τὰ περιεχόμενα. Ἐξείης σιγόωντι) Περὶ τῶν λοιπῶν διαλέγεται ἀστέρων, ὅτι ἕκαστος αὐτῶν τὰς αὐτὰς ὁδοὺς καὶ φορὰς ἔχει· ἀφ' οὗ καὶ ἂν σημείου καὶ ὁρίζοντος ὁ αὐγέκερως ἀνατέλλῃ, εἰς ἐκεῖνο πάλιν τὸ σημεῖον ἀνατέλλει· καὶ εἰς οἷον ἂν μέρος δύσιν ποιήσῃ), πάλιν δύομεν, οὐκ εἰς ἕτερον μέρος δύσεως. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ πάντων· ἕκαστον γὰρ κατὰ τὰ αὐτὰ σημεῖα ἀνατέλλει καὶ δύνει. Τά τε ἀνδρῶν ἀκέτ' ἐόντων) Τὰ εἴδωλα τῶν ἀκέπ ὄντων ἀνδρῶν παλαιὸς τις ἀνὴρ ἐσκέψατο, καὶ διενοήθη ἅπαντα, ἀτρόως καὶ ὁμοῦ μορφώσας, καὶ ὄνομα θεὶς ἑκάστῳ· ἃ δὴ ἠδυνήθη πάντων τῶν ἀστέρων κατ' ἕνα διακρίνων, ὄνομα εἰπεῖν, ἢ μαθεῖν, ἀλλ' ἀπὸ πολλῶν κηφὲν λέγει καὶ ζῴότιν. εἰπὼν δὲ καὶ τἄλλα πάντα, διετύπωσε, καὶ περιηθρήσαν πάσῃ τῇ διατυπώσει δεδώκε, ζῴότην εἰπὼν, καὶ λέοντα, καὶ τἆλλα ἑξῆς· ἐδίδαξεν ἡμᾶς, καὶ πῶς εἰδωλοποιήσαν, καὶ δι' ὃ χρείαν. Ἠλίθια μορφώσας) Πολλοὶ γὰρ ἀστέρες καὶ τῶν μέρος ἐν ὁρατῷ ἐν πολλῶν ἴσασι καὶ μεγέθη εἰσί, καὶ τὸ φῶς καὶ αἰ χρόαι ὁμοίαι, καὶ πάντες εἰσὶν ἀμφιέλικτοι, οἷον συνεφερόμενοι τῷ ὁρατῷ, ἀνατέλλοντές τε καὶ δυόντες. ἐπεὶ οὖν πολλὰ ἐστὶ τὰ ὁμοιώματα αὐτῶν, οὐκ ἠδύνατο ἰδίως καὶ καθ' ἓν σκοπεῖν· διὸ καὶ ἐπὶ τὸ αὐτὸ ἔδοξεν αὐτοῖς συναγαγεῖν ἀστέρας πλείους, δυσεπίγνωστον τὸ χῆμα ἀποφαζομένους. Τῷ καὶ ὁμηγερέας) Διὰ τοῦτο, φησὶ, τὴν αἰτίαν αὐτοῖς τοῖς ἐξ ἀρχῆς τοῦ διατύπωσιν ποιησαμένοις ἔδοξεν ὁμηγερέας καὶ ἅμα πλείονας ποιήσασθαι, καὶ διαπίπτειν ἀστέρας, ὅπως ἐφεξῆς καὶ κατὰ ζῴδιον ἄλλῳ παρακείμενον ἄλλο, ἰδέας καὶ μορφώσεις ἀποτελοίη. δύτεως οὖν ἐγένετο τὰ εἴδωλα, τὰ περιεχόμενα τοῦτο τὰ παρ' ἐκείνων μορφωθέντα ὀνόματα. καὶ νῦν ἀκέπι σὺν τοῖς ἅμα ἀνατέλλει ἀστὴρ, ἀδὲ καμπίζει τῇ καμπότητι τῆς ὄψεως· πάλαι γὰρ τὴν ὄψιν ἔχομέν τε καὶ ἐγνωμεν. Εἴδεα σημαίνοιεν) Τοῖς περιεχομένοις εἰδώλοις. ἢ ἑτέρως εἶπε τὰς ἰδέας αὐτῶν. τὸ δὲ ἄφαρ· ἃ δὴ ἐδυνάμην πάντας ἰδίᾳ καθ' ἕνα κεχωρισμένον ὀνομάσαι, οὐδὲ μαθεῖν ἕκαστον καὶ γνῶναι, οὕτω μεμιγμένων ὄντων, δυνατὸν ἦν. Ἀλλ' οἱ μὲν, καθαροῖς) Ἐπὶ τὸ ἑξῆς κατὰ ζῴδιον ἦλθε λοιπὸν εἰς τὸ περι-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

μβρον. ἀλλ' οἱ μὲ ωεθειρημβροι ἀστέρες δυσωνύμοι πως, εἰδώλοις ἠρμοσμένοι, καὶ ἡμῖν φανεροί εἰσι. τὰ δὲ ωεθκείμβρια ἄστρα, κατωτέρω κείμβρια τῆ ἐπιδιωκομβύσι λαγωοῦ. εἴπομβι δὲ, πῶς διώκει· πάντα ἐστὶ μεθα.

σκοτεινὰ καὶ ἀνονόμαστα· ὁ γὰρ μορφωθέντα ὀνομασίας ἔχειν, ἀλλ' ἀχλυώδη ὄντα, ἀφ' ὧ τὸ εἶναι νότια ἀωεθσημάδυτά ἐστι. διὰ ταῦτα δὲ αἰτίαν μέμνηται μόνον αὐτῶν, ωεθιξεθέμεθα.

Νέφθι δ' αἰγοκερῆος ὑπὸ ωνοιῆσι νότοιο,
Ἰχθὺς ἐς κῆτος τετραμμένος ἠώρηται,
Οἷος ἀπὸ ωροτέρων, νόμιον δὲ ἑ κικλήσκεσιν,
Ἄλλοι δὲ ωορφάδων ὑποκείμβροι ὑδροχοῆϊ
Κήτεος αἰθαλόεντος καὶ ἰχθύος ἠρέθονται,
Μεσόθι, νωχελέες καὶ ἀνώνυμοι· ἐκ δὲ σφῶν
Δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ ὑδροχόοιο,
Οἵη τις τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
Σκιδναμένη, χαεθποὶ καὶ ἀνωδύνοι εἰλίασιν.
Ἓν δὲ σφιν δύο μᾶλλον ἐρυθρόμβροι φορέουσι
Ἀστέρες, οὔτέ τι πολλοὶ ἀπήμονες, οὐδὲ μάλ' ἐγγύς·
Εἷς μβὲν, ὑπ' ἀμφοτέροισι ποσὶν καλός τε μέγας τε
Ὑδροχόου· ὁ δέ, κυλμένου ὑπὸ κήτεος ὄρῃ·
Τοὺς πάντας καλέουσιν ὕδωρ. ὀλίγοι γέμβρου ἄλλοι
Νέφθι τοξευτῆρος ὑπὸ ωροτέροισι πόδεσσι
Δινωτοὶ κύκλοι ωεθιηγέες εἰλίασιν.

Νεφθι δ' αἰγοκερῆος) Περὶ τῆς νότιε ἰχθύος λαμβάνει. καὶ τῆτο πάλιν ἀπὸ τῶν ωεθεγνωσμένων διδάσκει, ἀπὸ τῆ αἰγοκέρωτος, ὃν τινῆς τῆ νότου πνοιᾶς· σφόδρα γὰρ νότιός ἐστιν ὁ τῆ αἰγοκέρωτος ἰχθύς. ἔστι δὲ ὁ ἰχθύς ἐστιν ὁ μέγας καλέμβρωος, ὃς καμπτειν λέγε) ὕδωρ, ἀπὸ τῆς τῆ ὑδροχόε χύσεως. τέτου δὲ σημεῖόν τὲς δύο ἰχθῦς εἶναι λέγεται. Ες κῆτος τετραμμένος) Τὸν μὲ ἕλιν ἐπὶ τὸ κῆτος ἔχει ἀφορῶσαν. δύο οὖν δίδωσι τεκμήρια τῆς καταλήψεως ἀπὸ τῆ αἰγοκέρωτος. τὸ δὲ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δὲ ἠώρηται, ἤτοι ἀπωλῶς φέρεται, ἢ τὸ κυρτώτερον, ἐπὶ νότον ἐστὶν, ἀναμετρεωρίζομένῳ ἔχων τὴν ὄψιν, ὡς ἐπὶ τὸ κῆτος. Οἱ δὲ ἀπὸ τῶν πρωτέρων) Σφόδρα ἀκριβῶς, ἵνα μὴ τοῦ ἰχθύος λαμβάνωνται, λίαν πλανᾶται τὸν ἀκρύοντα, ὡς τοὺς τῶν πρωτερημένους τῶν ἀστέρων τὸ οἱ ἀπὸ τῶν πρώτων, δηλαδὴ τῶν προεγνωσμένων ἐν τῷ ζωδιακῷ κύκλῳ. καλοῦσι δὲ τὸν ἰχθὺν νότιον ἀπὸ τῆς θέσεως, ἢ ὅτι πρὸς τὸν νότιόν ἐστι κύκλον. Ἄλλοι δὲ ἀπορρέοντα) Πάλιν λαμβάνει τοῦ ἵππου ἀστέρων κειμένων ἐν τῷ νοτίῳ, μεταξὺ τοῦ τε ἀστέρος καὶ ὑδροχόου καὶ κήτους. μνημονεύει δὲ αὐτῶν πάλιν ἀπὸ τῶν πρωτερημένων αἰτίαν, ὑπὲρ ἣν μή ἵνα πλανηθῶμεν ἰδόντα αὐτὰς ἐν τῷ νότῳ κειμένας. Φησὶν οὖν ὅτι ἀνομοίως εἰσὶ. Ναχελέες) Βραδεῖαν ἔχοντες τὴν καταλῆψιν, ἀμυδροὶ γὰρ, διὰ τὸ εἶναι πρόσω τερους. τὸ δὲ ἐγγύθι, ὅτι ὁ ὑδροχόος ἔχει ὡς πρὸς ὑδρεῖον ἀπὸ ἀστέρων, ἀφ' ὧν λοιπὸν ἐξ κάτω ἀστέρες φέρονται, ὑδάτων χύσιν ἀπομιμούμενοι. ἔνθα δὲ ἓ ἔνθα, φησὶ, διὰ τὰς καμπὰς τῶν ἐκχεομένων ὑδάτων, τῇδε κἀκεῖσε· ὅτω γὰρ καὶ οἱ ἀστέρες ἐκεῖνοι. Χαροποὶ καὶ ἀναλδέες) Πυρροειδεῖς καὶ ἐκλαμπροὶ, ἢ οἱ μὴ μεγάλοι· ἀλδαίνειν γὰρ τὸ αὐξάνεσθαι. τὸ δὲ ἐν σφίσιν, ἐν παύσι τοῖς τὸ ὕδωρ ἀποτελοῦσιν ἀφρασι μᾶλλον τῶν ἄλλων δύο ἀστέρες φαεινότεροι καὶ λαμπρότεροι φέρονται, ὅτε πολὺ ἀπ' ἀλλήλων διεστηκότες, οὔτε ἐπὶ πολὺ ψαύοντες ἀλλήλων. Εἷς μὲν) Ὁ μὲν εἷς καὶ πάνυ ἐστὶ φαιδρὸς, ὑπὸ τοῖς τῆς ὑδροχόου ποσίν· ὁ δὲ ἕτερος, ὃς κυανέας κήτους ὑπὸ τὴν ὀρὰν. Νειόθι τοξότην) Εἰσὶ δὲ ἓ ἄλλοι ὁμοίως ἀφανέστεροι ἐν κύκλῳ περιγραφῇ, οὓς τῶν νεωτέρων τινὲς ἀραιόστομον καλοῦσιν· οἱ δὲ, νότιον στέφανον. εἶναι δὲ αὐτὸς, οἱ μὲν, Προμηθέα φασὶν· οἱ δὲ, Ἰξίονος τροχόν. κεῖνται δὲ ὑπὸ τοῖς ἐμπροσθίοις ποσὶ τοῦ τοξότου, καί εἰσιν ἀστέρες ιθ'. τὸ δὲ, δίνωτοι, περιηγμένοι εἰς κύκλον, παρὰ τὸν δίνον, τὴν ἐγκύκλιον φοράν.

Αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέρμα μεγάλοιο
Σκορπίου, ἀΐσσει νότιον ξυτήριον ἀείρας.
Τοῦ δή τοι ὀλίγην μὲν ὅτι χρόνον ὑψόθι ἔντος
Πρύσεαι· ἀντιπέρην γὰρ ἀείρεται ἀρκτίον ἅρμα·
Καὶ τῷ μὲν μάλα πολλαὶ μετοπωρίδες εἰσὶ κέλευθοι
Ἀρκτούρῳ· ὃ δὲ θᾶσσον ὑφ' ἑσπερίῃ ἄλα νίσσει.
Ἀλλ' ἄρα καὶ τοῖ κεῖνο ξυτήριον ἀρχαίη Νύξ
Ἀνθεμόεσσαν κλαίουσα πόνον, χθονὸς ἔθηκεν
Εἰνάλιον μέγα σῆμα· κεδαιόμενον γὰρ ἐκείνῃ -λίᾳ

Νῆες

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Νῆες ἀπὸ φρενός εἰσι· τὰ δ' ἄλλοθεν ἄλλα πιφάσκῃ
Σήματ' ἐποικτείρουσα πολυῤῥόθοις ἀνθρώποις.
Τῷ μή μοι πελάγη νεφέων [x] εἰλυμένον ἄλλων
Εὔχεο μεσσόθι κεῖνο φαήμεναι ὑρανῷ ἄστρον,
Αὐτόθεν ἀνέφελόν τε καὶ ἄγλαον, ὕψι δὲ μᾶλλον
Κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ
Θλίβετ' ἀνατέλλοντος ὀπωρινοῦ βορέαο·
Πολλάκι γὰρ καὶ τῆτο νότῳ ἐπὶ σῆμα πτύσκῃ
Νὺξ αὐτή, μογεροῖσι χαριζομένη ναύτῃσιν.

"παλι- [x] κεκλιμ-

ὑπ' αἰθομένῳ κέντρῳ) Λαμπρῶ· λαμπρότεροι γάρ εἰσιν οἱ ἐπὶ τοῦ κέντρου ὑποκείμενοι ἀστέρες. μέγα δὲ τέρας, τὸν σκορπίον φησὶ, ἀφ' ὧν τὰ σημαινόμενα· ὅτι δύο ζωδίων ἐπέχει ταξιν. ξ'. γὰρ μοιρῶν ἐστὶ τὸ ζῴδιον· αἰθόμενον δὲ αὐτῷ φησι τὸ κέντρον, ὡς ποθ' τῷ σκορπίῳ τὸ δήγματος. ἔνιοι γὰρ σφόδρα ἀφάπτεσθαι ἔχουσι τῷ κέντρου τὸ τύμμα. ὁ δὲ νοῦς, κάτω δὲ τοῦ ἀφάπτει κέντρου τῷ σκορπίου θυτήριον αἰωρεῖται, ὅ ἐστιν ἥρτηται, φέρεται. τὸ δὲ ἀΐσσει νότιον, ἀντὶ τῷ σχεδὸν τοῦ νότου· νοτιώτερον γάρ ἐστι πάντων τῶν ζωδίων τὸ θυτήριον, τῷ νοτίῳ πόλῳ ἐπιψαῦον. τὸ δὲ θυτήριον λιβανωτιδί ὅμοιόν ἐστιν, ᾧ φασι τοὺς θεοὺς χρήσασθαι, ὅτε τοὺς Τιτᾶνας κατηγωνίσαντο. Ἐρατοσθένης δέ φησι, τῦτο τὸ θυτήριον εἶναι, ἐφ' ᾧ τὸ πρῶτον οἱ θεοὶ σπονδὰς ἐποιήσαντο, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν ὁ Ζεύς, κυκλώπων κατασκευασάντων, ἔχον ἐπὶ τῷ πυρὸς κάλυμμα, ὅπως μὴ ἴδωσι τὴν τοῦ κεραυνοῦ δύναμιν· ἐπιτυχόντες δὲ τῇ πράξει, ἔθηκαν εἰς οὐρανὸς τὸ αὐτὸ κατασκεύασμα· ὃ εἰς τὰ συμπόσια φέρεσιν οἱ κηρυκεῖοι βαλόμενοι, ἢ αὐτοὺς αἰρόμενοι ἐν ταῖς ἀγῶσι, ἢ ταῖς ὀμνύειν δίδοῦ) βαλομένοις, ὡς δικαιοπάτωρ πίσιν τηρῶσι, ἢ τῇ χερὶ ἐφάπτοντας, δηκνύντες δύγνωμοσύνης μαρτύριον τὸ πῦρ. ὁμοίως δὴ καὶ οἱ μάντεις τῦτο ποιοῦσι. Τῷ δήτοι ὀλίγον) Ἀντὶ τοῦ ἐπ' ὀλίγον χρόνον τῦτο ἐπὶ γῆς φερόμενον θεάσῃ. ἐπιπερείαν ἄλλα δὲ, τὴν δύσιν λέγει. τὸ δὲ, ἀντιπέρθω ἀείρεται, ἤγουν εἰς τὸ ἀνατολικόν. πῶς δὲ τὸ ἀνατολικὸν πρὸς ἀφιφορὰς ἔχει, διδάσκει. Κέλευθοι ἀρκτέρῳ) Τῷ μὲν ἀρκτέρῳ σφόδρα μετέωροι καὶ μεγάλαι εἰσὶν αἱ ἀφιφοραὶ, ἅτε δὴ τοῦ βορείου ὄντι· τὸ δὲ θυτήριον ταχέως ὑπὸ τὸν ἐπέρειον ὠκεανὸν δύεται. ἔλαβε δὲ τὸν ἀρκτέρον, ἐπειδὴ καὶ αὐτὸς ἐπιψαύει τοῦ βορείου κύκλου, ἢ πόλου, ὡς καὶ τὸ θυτήριον τῷ ἀντικλινοῦ. καί ἐστιν ἕτερος ἀνατέλλει μὲν λέοντος ὁ ἀρκτέρος, ἰδοὺ δύο ὧραι· εἶτα παρθένος, ἰδοὺ δ'. εἶτα ζυγὸς, ἰδοὺ ὥραι ς'. εἶτα σκορπίος, ἰδοὺ ὧραι ή. τότε μὲν ὥραν ὀγδόην,

τὴ

τὸ ϑυτήριον ἀνατέλλει, εἶτα ζυγός, ὥραι ι΄. ἀητόκερως, ιβ΄. ὑδροχόος ισ΄. εἶτα ἰχθύες, ὥραι ις΄. ☾ τὸ ϑυτήριον, ὥραι η΄· ὀκτὼ οὖν ὧραι ποιῆσιν, δύεται τὸ ϑυτήριον· ὁ δὲ ἀρκτοῦρος, ις΄. ὑστέρημα μὲν γὰρ ἔστιν· ὑπόκειται δὲ ἐκεῖνο, καὶ ἀναντίον τούτου παρδύεται. διὸ καὶ τὸ μὲν ἧττον δύνει· ὁ δὲ, μείζονας ἔχει τὰς διαφοράς. Ἀρχαίη νὺξ) Ἀρχαιοτέρα γάρ ἐστι τῶν ϑεῶν. καὶ παρ' Ἡσιόδῳ, Ἐκ χάεος δ' Ἔρεβός τε, μέλαινά τε νὺξ ἐγένοντο. Φασὶ δέ τινες, ὅτι μυθικῶς τι ἐπιψαύων καὶ φυσικῶς ἅπτεται, ὅτε ἡ νὺξ ὀδυρομένη τὴν τῶν ἀνθρώπων ἁλαζονείαν τοῦ ϑαλαττίου χειμῶνος καὶ τοῦ πόντου σημεῖον ἔϑηκεν ἐκεῖνο τὸ ϑυτήριον, ὅτε ἥλιός ἐστιν ἐν αἰγοκέρωτι, τῷ τυδὶ μηνὶ, ὃς ἐστι κατὰ ῥωμαίους ἰανουάριος, ὅτε ☾ ὁ νότος ἐν χειμῶνι πνεῖ. Νῆες ἀπὸ φρενὸς) Αἱ νῆες γὰρ ἀποφθερόμεναι, ἐκείνῃ, ἤγουν τῇ νυκτὶ, οὐκ ἀρέσκουσι) αὐτῇ, ἀλλ' ἄχϑεται ἐφ' οἷς κινδυνεύουσιν οἱ ἄνθρωποι κατὰ τὸ πέλαγος. οὐκ ἀρέσκουσιν οὖν αὐτῇ· ἀποθύμιαι γάρ εἰσι. Τὰ δ' ἄλλοϑεν ἄλλα πιφάσκει) Ἤγουν τὸ βιωφελές· ὡς γὰρ προεῖπομεν, καὶ φυσικῶς ἅπτεται, ὅπου ἡ νὺξ πολλὰ τεκμήρια ἐπιδείκνυσιν, οἰκείρασα τοὺς ἀνθρώπους, τοὺς προκλυζομένους καὶ κινδυνεύοντας· οἱ οὖν γὰρ προεπιδείκνυσι, προσκέψασϑαι τὰ μέλλοντα ποιεῖ. τὸ δὲ παλιρρόϑιος, προκλυζομένους ἀνθρώπους· ῥόϑια γὰρ τὰ ῥεύματα· κυρίως δὲ αἱ τοῦ κλύδωνος ὁρμαί· ὅταν οὖν συνεφὴς ὁ ἀὴρ ᾖ, φανῇ δὲ τὸ ϑυτήριον καϑυφορὸν καὶ ἀνέφελον, τὰ δὲ ἄνω νέφη κατέχῃ, οἷα πολλάκις γίνεται, μάϑοις ἂν ὅτι χειμὼν ἔρχεται παραυτίκα. ἔνιοι δὲ, τὸ εἰλυμένον, κεκλιμένον γράφουσι, καὶ σημαίνει τῷ πελάγει, ἵνα ᾖ, μὴ μοι κεκλιμένον τῷ πελάγει. σημεῖον δέ, φησιν, αὐτὸ νότου πνέοντος. ὁ νῆς δέ ἐστιν, μή μοι ἐν τῷ πελάγει ὦν, τὸ πλησίον τοῦ ϑυτηρίου ☾ ἀνωτέρω ἄλλων ἀστέρων ὑπὸ νεφέλῃ κεκαλυμμένων, δύσει αὐτὸ ἐν μέσῳ τοῦ οὐρανοῦ ἀνέφελον ☾ δυσωπτὸν ἰδεῖν· τότε γὰρ σφοδρὸς χειμὼν ἔσται· ἐωσφόρῳ γὰρ αὐτὸ τὸ ϑυτήριον σφόδρα πλησιάζει αὐτῷ τῷ νότῳ, διὰ τοῦτο ὅταν τὰ ἐπιόντα εἰς αὐτὸν νέφη ὁ νότος κάτωϑεν πνέων, ἀποπέμπῃ ἀφ' ἑαυτοῦ αὐτὰ, αὐτὸς δὲ μένῃ ἀνέφελος, κἀκεῖνο ἀνέφελον μένει. μὴ οὖν, φησιν, ἐν μέσῳ πελάγει ὢν δύσει ἰδεῖν, τὰ μὲν ἀνωτέρω αὐτοῦ ἄστρα κεκαλυμμένα νέφεσιν, αὐτὸ δὲ ἀνέφελον· τότε γὰρ χειμὼν καὶ νότος ὁ ὀλέϑριος ἀήτης, ὃς τοὺς ἔλινε ϑαλάσσας· ὁμαρτεῖ δ' αὖ Διὸς ὄμβρος. εἰλυμένον δὲ ἄλλων, τουτέστιν οὐ νεφέλαις ἄλλων εἰλυμένον τὸ ϑυτήριον. Κυμαίνοντι) Φιλεῖ προπέμπειν ὁ μέλλων πνεῖν ἄνεμος τὰ ὑπερκείμενα νέφη. Πολλάκι γάρ) Τουτέστι σημεῖόν αὐτὸ ποιεῖ ἐπὶ νότου. Φοβοῦ δ' οἶνον ἐπὶ τῷ σημείῳ ϑυτηρίου πνέοντα νότου, ἕως ἂν ἐπιστρέψαντος βορέου ἀϋτήσῃται.

Οἱ δ' εἰ μή κε πίϑωνται ὑπαὶ σημάντορος υἱοῦ,
Αἰνά τε κοὐφά τε πάντα, καὶ ἄρπια ποιήσουσι),
Οὐδ' ἐλαφρότερος "πέλει) πόνος· εἰ δέ κεν ἠὼς

" φέρει) Ὑψόϑεν

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Υψόθεν ἐμπλήξῃ δ' ὀφρὺ ἀνέμοιο θύελλα
Αὔτως ἀπρόφατος, τὰ δὲ λαίφεα πάντα ταράξῃ,
Ἄλλοτε μὲν τ' πάμπαν ὑπόρυχα ναυτίλλονται·
Ἄλλοτε δ', ὅτε Διὸς ἀθανάτοιο τύχωσιν
Εὐχόμενοι, βορέω δὲ ἀπαντέψῃ ἀνέμοιο·
Πολλὰ μάλ' ὀτλήσαντες, ὁμῶς πάλιν ἐσκέψαντο
Ἀλλήλους ὅπῃ νῆα. νότον δ' ὅπῃ σήματι τούτῳ
Δείδιθι μέχρι βορῆος ἀπαστράψαντος ἴδηαι.
Εἰ δέ κεν ἐσπείλης μὲν ἀλὸς κενταύρου ἀπείη
Ὦμος, ὅσον προτέρης· ὀλίγη δέ μιν εἰλύοι ἀχλύς
Αὐτόν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα τεύχει
Νύξ ἐπὶ παμφανόωντι θυτηρίῳ, ὅ σε μάλα χρὴ
Ἐς νότον, ἀλλ' εὐρύτερον ἀπεσκοπέειν ἀνέμοιο.

Οἱ δ' εἰ μέν κε πίθωνται) Οἱ δὲ ναῦται, ἐὰν μὴ πιστεύσωσι τῇ νυκτὶ, καθήκοντα καὶ ὠφέλιμα δηλούσῃ, καὶ δύσεως τεκμήρια εἰδότες, ὅτι παρῆκεν ἔσῃ τῶν ὑδάτων, κῆφα τὰ πάντα ἐν τῇ νηῒ ποιήσωνται, ἀπὸς σωτηρίαν τείνουσι. λέγει δὲ κῆφα, τὸ ἐξαλάσσῃ ταῖς ἁρμένοις ποσὶ, καὶ μὴ φιλονεικεῖν ἐναντίον ταῖς πνεύμασι, καὶ ὀπόνῳ ἐλαφρότερον ἔσῃ. εἰ δὲ μὴ, ἀπρόφατον, ἤγουν ἀπροσδόκητον ἐμπεσεῖται, ἐξαπατήσει τὰ ἄρρηκτα μὴ χαλασθέντα, ἀλλ' ἐναντίωμα τῷ κακῷ. τότε δὲ οἱ πλέοντες, ἔσιν ὅτε ὑποβρύχιοι, ἐν ὑπ' αὐτὸ τὸ ὕδωρ πλέουσιν, ἐκ ἐπὶ νηὸς, ἀλλ' ἐπ' αὐτῶν τῶν ὑδάτων φερόμενοι. ἔσθ' ὅτε δὲ ἐὰν ἐπιτύχωσι τῆς Διὸς πομπῆς, ῥύονται. τοῦτο δὲ ὡς ἐν παίγνιον φησιν, ὅτι εἰ μὴ ἄρα ὁ Ζεὺς παρῇ τύχη, καὶ εὐχομένοις ἐπέλθῃ, καὶ τοῦ βορέου ἡ δύναμις ἐναντίον τῇ τοῦ νότου πλοΐσῃ, καὶ ἀφασκορπίσῃ τὰ νέφη, καὶ αἰθρίαν ποιήσῃ· πνεύσας γὰρ ὁ βορέας ἀεὶ σκεδαννύει τὰ νέφη. Ὁμηρος, Αἰθηγενέος βορέαο. οἱ τότε πολλὰ παθόντες, πάλιν ὁρῶσιν ἀλλήλους ἐν τῇ νηΐ· ἃ γὰρ ἴσασιν ὑπὸ τῆς καινῆς, ὅπου ἂν ὦσιν. Εἰ δέ κεν ἐσπείλης) Ἂν δὲ μεσουρανήσῃ ὁ τοῦ κενταύρου ὦμος, ὀλίγη δὲ περὶ αὐτὸν ἀχλὺς ᾖ, ἤτοι τὸ ὦμον, ἢ τὸ κένταυρον, τὰ δὲ ἐπὶ τῷ θυτηρίῳ σημεῖα ὅμοια ᾖ, ἃ χρὴ σε νότον φαντάζεσθαι, ἀλλὰ δύρον· τῷ δὲ πρωϊτέρης, συμπεπυκνωμένον θαλάσσης. τὸ γὰρ ὀρίζοντα, ἐν ὠκεανὸν, ἐν θάλασσαν καλεῖ. ὁ δὲ νῶτος, ἐὰν δὲ ἐν νοτίᾳ κενταύρᾳ ὁ ὦμος τοσοῦτον ἀπέχῃ τ ἀνατολῆς, ὅσον ἐν τ δύσεως,

ἀντὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:38 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἀντὶ τ ὅτε μεσάτατός ἐστι, ☪ αὐτὸν μὲν τὸν κένταυρον κατὰ πᾶν τὸ ἄλλο σῶμα πεδιάλλη ἐν νεφελῶν ὀλίγη ἀορασία. μετὰ ταῦτα δὲ ἐπὶ τῷ ἡυτηρίῳ ☌ πεφεισμένα σημεῖα ἀποτελοίη ἡ νύξ, ἐκεῖ φησι νότον πεφυδοκῶν, ἀλλ' αὐτὸν δύρον ἐπιτηρεῖν, ὃς ἀπὸ χαμερινῆς ἀνατολῆς πνεῖ. Ἀπὸρ μετόπιθεν) Μετὰ δὲ ταῦτα, ὡς ἀφανὴς εἶναι τ κένταυρον ἐπὶ τῷ λάμποντι ἡυτηρίῳ, εἴπομεν δὲ ὅτι ἂν εἴη αὐτὸ μόνον ἀνέφελον, ☌ ὑπεράνω δὲ αὐτῆ νεφελώδη, ἔψεται ☌ ἑοικότα σημεῖα.

Δήϊς δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
Τοῦ γάρ τοι, τά μ' ἀνδρὶ ἐοικότα, νῶθι κεῖται
Σκορπίου· ἰσοπύραγα δ' ὑπὸ σφίσι χηλαὶ ἔχουσιν.
Γιγνέσθω· ἢ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
Ἀκλαγέες ἐναλίοι, ὁπότ' ἂν δι' ὄσιοι ἠχήεσσαι
Γίγνονται, κορυφαί τε βοώμεναι ὀρέων ἄκραι.

Σῆμα δέ τοι ἀνέμοιο) Ἀπὸ τῶν οὐρανίων σημείων μεταβέβηκεν εἰς τὰ ὑπερῷα, καὶ ἀπὸ προφάσεως ἄρχεται) θαλάσσης. ὁπόταν, γάρ φησιν, οὔσης οὔσης, ἡ θάλασσα μετεωρίζηται, καὶ μακρὰς ἀπὸ τῶν αἰγιαλῶν ἤχους ἀποτελῇ, ἄνεμον δεῖ προσδοκᾶν· ὁμοίως δὲ καὶ αἱ πλησίον τῆς θαλάσσης ἀκταὶ, πλεῖον δὲ καὶ φύσιν ἠχοῦσαι, μέλλοντας ἀνέμους σημαίνουσιν· ὡσαύτως δὲ καὶ ὅταν αἱ ἀκρώρειαι τῶν ὀρῶν βοὴν ἀποτελῶσιν. ἀρξάμενον δὲν ἀπὸ κραπίσου τῶν ἐπὶ γῆς στοιχείων πρὸς τὸ σημαῖναι φυσήσοντας ἀνέμους, τῆς θαλάσσης δηλαδὴ, φησὶν, ἐπαιρομένης τοῖς ὕδασιν ἡ θάλασσα, σημεῖόν σοι ἔστω ἀνέμων· καὶ εἰ αἰγιαλοὶ μέγα κράζοντας, ὁπὸ τῶν κυμάτων δηλονότι. καὶ Ὁμηρος, Αἰγιαλῷ μεγάλῳ βρεμε) σημαραγεῖ δέ τε πόντος, Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο. συμβαίνει δὲ ταῦτα, διότι ἀκροσφαλὴς ἡ γειτνίασις τοῦ ἀέρος, καὶ τοῦ ὕδατος καὶ τῆς γῆς πρὸς ἠρεμίαν τε καὶ σάσιν. ἀρχομένου δὲν τοῦ ἀέρος ἠσυχῇ ῥεῖν, σημεῖον ὁ ψόφος· καὶ γὰρ μεταβολὴ μὴ γίνεται ἀέρος, ἐδέπω μέντοι γε ἠρεμεῖν αἰσθητή· καὶ γὰρ ἡ θάλασσα διοιδαίνουσα, τοῦτο πάσχει κατ' ἔμπλωσιν ἀνέμων. αἵ τε ἀκταὶ ἠχοῦσιν· ἡ γὰρ λαλιὰ τῶν ἀνθρώπων σοκεῖ τοῦ ἀέρος κινήσεως αἰσθησιν λαμβάνειν, μὴ σφοδρᾶς ὑπαρχούσης· τοῖς δὲ ἠρέμοις τοῦτο συμπίπτει. Ἄλλως. Εἰρήκαμεν πολλάκις ὅτι σφόδρα πεφρόντικε τοῦ ἐπιδεῖξαι τεκμήρια πολλὰ χειμώνος ὁ Ἄρατος, προνοούμενος τῶν ἀνθρώπων. δεδώκασι δὲν ἐξ ἄστρων καὶ σελήνης καὶ ἡλίου καὶ τῆς Φάτνης τεκμήρια θεῖά τε καὶ ἀληθῆ, γινώσκων ὡς οὐκ πάντες εἰσὶν ἐπιστήμονες τῶν οὐρανίων, ὅτε ἀκριβοῦς καὶ πεπαιδευ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δευμφροι εἰς τὸ καταλαμβάνειν τὰ ἐν ἐρανῷ τεκμήρια, ⸗ ἀπ' αὐτῶν παρ' ἡμῖν καὶ μᾶλλον ἡμῖν γνωστῶν τὴν διδασκαλίαν ποιεῖται· οἷον, ἀπ' ἀλάσης, ἀπ' ἰλιγγῶν, ἀπ' ὀργῆς, ἀπὸ ζώων, καὶ ἐξ ἄλλων, καὶ ἐκ πάντων τὴν κατάληψιν ἡμῖν παρέχει ⸗ σχημάτων⸗.

Καὶ δ' ἂν ὅτ' ἐν ξηρῷ ὅτ' ἐρωδιὸς ἀκτὴν κόσμον
Ἐξ ἁλὸς ἔρχηται, φωνῇ ἅμα πολλὰ λιγαίνων,
Κινυμένου κε θάλασσαν ἐποφθορέοιτ' ἀνέμοιο.
Καί ποτε καὶ κέπφοι, ὅπότ' ὄμβριοι ποτέωνται,
Αὐτίκα μιγόντων ἀνέμων εἰλιπόδες φέρονται.

Καὶ δ' ἂν ἐπὶ ξηρῷ ὅτ' ἐρωδιὸς) Καὶ ὅταν ὁ ἐρωδιὸς ἀπὸ τῆς θαλάσσης ἐπὶ τὴν ξηρὰν σφόδρα κραύζων ἔρχηται, γίνωσκε ὅτι ἀνέμου κινουμένου σημεῖόν ἐστιν. ὁ δὲ ἐρωδιὸς, τὸ ὄρνεόν ⸗ ἀμφιβίων ἐστὶ, ποτὲ μὲν ἐν ξηρᾷ, ποτὲ δὲ ἐν ὑγρᾷ διάγων. πολλάκις οὖν ἐπὶ θαλάσσης διατελέσων, αἰσθάνεται πνεύματος μέλλοντος κατιέναι, καὶ δεδοικὼς μήποτε αὐτὸν ἡ ἀπὸ τῆς θαλάσσης τελκυμία περίσχῃ, τεθορυβημένῳ ἔξεισιν ἐπὶ γῆν, καὶ κραυγάζων τῇ φωνῇ καὶ τῇ ἀθρόᾳ πλήσει ⸗ τὸ φόβον δηλοῖ. γίνονται δὲ αἱ ⸗ ζώων αἰσθησιμασίαι, ἤτοι νοὸς ὀξύτητι, ἢ αἰσθήσεως παχύτητι· ἡ δὲ ἀπὸ τῆς αἰσθήσεως διαιρεῖται· ἡ μὲν ἀφῇ, ἀπὸ ψυχρότητος· ἀκουσολῆς· ἢ ἀπὸ ἀναθυμιάσεως, ὀσφρήσει. ὁ μὲν οὖν ἄνθρωπος διὰ τὰ σκεπάσματα τοῦ ψύχους παραλλαγεὶς τὴν αἴσθησιν), ἐδὲ τῇ ὀσφρήσει διὰ μίξιν ⸗ χυμῶν ἀντιλαμβάνεται· τὰ δὲ θηρία δι' εὐαισθησίαν αἰσθητοῦνται, σημαίνει τὸ ἐσόμενον. φεύγει οὖν ὁ ἐρωδιὸς τὴν θάλασσαν, ⸗ χθονίαν αἰσθανόμενος⸗. τὸ δὲ, κινυμένου θαλάσσης, ἤγουν κινουμένου καὶ πνεῖν μέλλοντος ἀνέμου, ὑπὲρ τὴν θάλασσαν φορέοιτο καὶ κραυγάζοιτο ἐπὶ τὴν ξηρὰν ὁ ἐρωδιός. Καί ποτε καὶ κέπφοι) Ἀπὸ κοινοῦ τὸ κινουμένου ἀνέμου ⸗ τόδε ἐστὶ σημεῖον. ὁ δὲ κέπφος⸗ τὸ ὄρνεον ⸗ λειποπάρκων ἐστὶ· σφόδρα γὰρ αὐτὸν ἐπιλείπει ἡ σάρξ. ⸗ ἔστιν ὀστέον μόνον σχεδὸν καὶ πτερά. ἔστι δὲ ὅλον τὸ ὄρνεον ἰσχνόν· ἀεὶ δὲ φιλησυχεῖ τὰ ἀφρῷ· τοῦτον γὰρ καὶ σιτεῖται ⸗ τὰ ὑδατα ἀναστρεφόμενον, ὡς καὶ Νίκανδρος, Θηρσὶν ἀφροέσσι νέμων κλύδα λευκαίνεσκεν· ἐπειδὰν οὖν αἰσθηται) ὀλίγα πνεύματος πνεῖν μέλλοντος, ἵπταται, ἀφύγων ⸗ ἄνεμον, ἀλλ' αὐτῷ ⸗ ἀνέμου ἀντιπρόσωπος, ἵνα πέων ἐκεῖνον⸗, βύτε ὡς ἐπ' αὐτὸν φερομένου, σκέπῃ αὐτὸν τοῖς πτερυγῖς. τέχνῃ δὲ αὐτὸ ποιεῖ ὁ κέπφος· εἰ γὰρ ἐπίπροσθεν ἔφυγεν, ὄπισθεν ἔχων ⸗ ἄνεμον ἀναστελλομένων ⸗ πρὸς τὸ σῶμα αὐτοῦ πτερῶν ἀπὸ ⸗ ἀνέμου, κακῶς ἂν διεπέτετο. νῦν δὲ ἀντιπρόσωπος ἵπται), ἵνα πέων ὁ ἄνεμος σκέπῃ αὐτοῦ τὰ πτερά, καὶ οὕτως συνέχῃ τὸ πνεῦμα. ὅταν ἐν ἀναπτοὶ ⸗ μελλόντων ἀνέμων πνεῖν οἱ κέπφοι εἰλιπόδες πέτωνται, βυτέσι καὶ συροφλῷ, καπὶ ἀγέλῃ κινοῦνται, βτε πνεύσεται ἄνεμος⸗. Εὐδίοις ποτέωνται) Εὐδιάνως φέρονται

την ὅταν πρὸς αὐτὴν τὰ ἄνεμοι, ὅτι πνεύματα ἔχει· τότε γὰρ ἀντιπρόσωποι τὰ ἄνεμοι ἵστανται. φέρονται δὲ ἀνθρώποι, ὡς καὶ οἱ ἰχθύες, πρὸς ἄνεμον νηχόμενοι· καταστέλλει γὰρ τὸ κῦμα τὴν φελλὸν τῆς λεπίδος, ὁ δὲ κεφαλῆς ἐναντιούμενον.

Πολλάκι δ' ἀγριάδες νῆσαν, ἢ εἰν ἁλὶ δῖναι
Αἴθυιαι χερσαῖα λιλαίσονται πτερύγεσσιν.
Ἡ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν·
Ἤδη καὶ πάρροι, λευκῆς γήρεον ἀκανθης,
Σῆμ' ἐέλδονται ἀνέμου, κωφῆς ἁλὸς ὥστε πολλοὶ
Ἀκροι ἐπιπλείουσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω.
Καὶ θῆρες βοσκηταί τε καὶ ἀγραυλαὶ ἔνθεν ἴασιν,
Ἔνθεν ἐπερχόμενοι πρὸς ἰσχνὸν ἤδη ἀνέμοιο·
Καὶ μάλα νύκλα μέλαιναν ὅτ' ἀστέρες αἴθονσι
Ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ἐπόλευκαίνονται,
Δῃδέχθαι κείνοις αὐτῶν ὁδὸν ἐρχομένοισι
Πνεύματος· εἰ δέ κεν ἄλλοι ἐναντίον αἴσσωσιν
Ἄλλοις ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
Πνοιῶν ἀνέμων, οἵτ' ἄκριτοί εἰσι μάλιστα·
Ἄκριτα γὰρ πνείουσιν ἐπ' ἀνδράσι τέκμαρ ἔθηκαν.

Πολλάκι δ' ἀγελάδες νῆσαν) Νήσας νῦν ἀγελάδας τὰς ἐν ταῖς νήσοις ἀφορίζεσθαι ὄρνιθας λέγει, ἀλλὰ τὰς ἀνημέρους καὶ ἀγελαίας· τὰς δὲ αἰθυίας, εἰν ἁλὶ δίνας φησὶν, ἐπειδὴ δινεῖσθαι αὐτῶν τῇ θαλάσσῃ ἐπιγίνεταί τις δῖνος, ἤτοι κυκλοτερὴς τοῦ ὕδατος φορά. ταῦτα ἐπὶ τῆς χέρσου φησὶν, ὅταν λιλαίσηται τὰ πτερά, ἄνεμον σημαίνει. φθάνουσι γὰρ τὸ θαλάττιον χλωῦναι, τὸν ἐπὶ τῆς θαλάττης ὑγρότητα ἀποβάλλουσιν, ἐπὶ τὴν χέρσον παραγινόμενα.

Ἡ νεφέλη ὄρεος) Καὶ τὰς ἐπὶ τῶν ὀρῶν δὲ μηκυνομένας νεφέλας, πνεύματος εἶναί φησι σημαντικάς· καὶ γὰρ αὗται εἰς μῆκος ἐπιδίδασι κατὰ πύκνωσιν τοῦ ἀέρος. ἴσμεν δὲ ὅτι συνιστάμενα νεφέλα ἐπὶ τῶν τοῦ ὄρους ἀκροωρείας, ἀναπαύονται, ἕως ἂν ἄνεμος πνεύσας, ὠθήσῃ αὐτάς. ὅταν οὖν ἄνεμος ἄρξηται διώκειν τὴν

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τῷ νεφέλῃ ἐπεκλείνειν αὐτῷ, καὶ τοῦτο τεκμήριον τίθησιν ἀνέμου μηκύνοντος τὴν νεφέλην. Ἤδη καὶ πάππι, λύκης) Ἡ ἄκανθα ἡ καλουμένη κινάρα, ἐπειδὰν ἐξανθήσῃ, αὐγὴν ἔσται. γήραμος δὲ αὐτῆς ἐστιν, ὁ καλούμενος πάππος. ἐν δὲ τοῖς παραθαλατίοις χωρίοις, ἐπειδὰν πνεύσῃ ἄνεμος, οἱ πάπποι καῦφοι ὄντες καὶ εὔληπτοι ἢ εὔθρυπτοι, καὶ ὑπὸ ὀλίγου ἀνέμου ἀναπτερούμενοι, ἐμπίπτουσι τῷ ὕδατι, καὶ ἐπιπολέοντες, δῆλοί εἰσιν, ὅτι ἀνέμου καταπνοὴν σημεῖόν εἰσιν. ὁ δὲ λόγος, καὶ οἱ πάππποι οἵ τινές εἰσι γηράματα ἀκάνθης, σημεῖον ἐγγύονθ ἀνέμου, καῦφῆς καὶ ἀναθλήτου οὔσης τῆς θαλάσσης. τὸ οὖν καῦφῆς ἁλὸς, τῆς ἀνεπιπαθήτου ἀνέμου. καὶ Ὁμηρος, Κύματι καῦφῷ, τῷ ἠρεμοῦντι δηλαδή.

Τὰ μὲν πάρος, ἄλλα σὶ ὀπίσω) Ὅταν πολλὰ γηράματα τῆς ἀκάνθης εἰς τὸ ἄκρον ὕδωρ τελέωσι, τότε ἄνεμον δηλοῖ, τὰ μὴ καταπίπτοντα εἰς τὸ ὕδωρ, ἄλλα δὲ ὕστερον καθαφερόμενα· πάππος δέ ἐστιν, ὑμὼ κεκλυφαώδης. Καὶ θέρεος βροντή τε) Παρὰ τοῖς αἰγυπτίοις κεκεμάσθαι εἰσὶν αἱ ὧραι τὸ ἔτους, καὶ ὁ χειμὼν ἔχειν τὰ ὡρισμένα, οἷον ἀστραπὰς καὶ βροντάς. καὶ θέρος ὁμοίως. ἐν δὲ τοῖς ἄλλοις μέρεσι, ἀκμάζειν εἰσὶν καὶ ἀόρίστως, καὶ πολλάκις ἐν καιρῷ θέρεος βροντὰι καὶ ἀστραπαὶ γίνονται καὶ ὑετός. τοῦτο οὖν φησι, καὶ θέρεος δὲ, ὅταν αἱ βρονταὶ καὶ ἀστραπαὶ γίνωνται, καὶ ἢ ἐν νοτίων, ἢ ἐν βορείων, ἢ ὅθεν δήποτε, ἐν τούτῳ τῷ μέρει σκόπει ἐσόμενον ἄνεμον. τὴν βροντὴν μὲν οὖν φασι καθὰ ῥῆξιν γίνεσθαι τῶν νεφῶν· τὴν δὲ ἀστραπὴν καθὰ πρόπτωσιν τῶν ῥηγνυμένων νεφῶν. τούτων οὖν, φησι, θέρεος γινομένων, ἄνεμον ἴσθι πνευσόμενον ἐκεῖθεν ὅθεν γίνονται· ἡ γὰρ θέρεος ἔκκαυσις σημήνασα τὸ παχὺν ἀέρα, τὴν μὲν εἰς ὕδωρ οὐ ποιεῖ μεταβολὴν, λεπτύνασα δὲ αὐτὸν ἀραιοῖ, καὶ εἰς ἄνεμον ἀναλύει.

Καὶ ἁλκυόνες μέλαιναι) Ὁ αἰθὴρ σφόδρα ἐστὶ λεπτὸς, ὅθεν καὶ ὀνόμασται παρὰ τὸ αἴθω. ἔστι δὲ ὅτε καὶ ὑπὸ τοῦ ἡλίου ξηρὸς ἀναθυμιάσας δέχεται ἀπὸ τῆς γῆς. καὶ ξηρὸς ὢν καὶ πυρώδης, πυκνούμενος, ἀποπέμπει πνοὰς ὡσπερ ἀπνεύμονας, ἃς δὴ ὑπονοοῦσιν ἀστέρων εἶναι ἀναδρομάς. οὐκ εἰσὶ δὲ· ἃ γὰρ οἱ ἀστέρες κινοῦνται, ἀλλὰ σιλβηδόνες πυρώδεις εἰσὶν, ἃς, ὡς ἔφαμεν, ἀποπέμπει ὁ αἰθήρ· διὸ καὶ ὀλίγον θραυσθέντα, πνέουσι, ὡσπερ καὶ οἱ ἀπνεύμονες. ὥστε καὶ αἰθέρος ἐστὶ πύκνωσις τὸ τοιοῦτον. ἐν νυκτὶ δ' ἦν, φησιν, ὅταν τόπων μεταβάντες ποιῶνται οἱ ἀστέρες· (τοῦτο γάρ ἐστι τὸ αἴθεσθαι παρφέρα.) ὅπισθεν δὲ αὐτῶν οἱ ὀλκοὶ λαμπρὸν φαίνονται, παθηδόνων δὴ αὐτοῖς τοῖς ἀστράσι τὴν αὐτὴν ὁδὸν ἐρχομένοις πνεύμασιν· οἷον ἐὰν ἀπὸ τῶν βορείων ἐξ ὁρμῆς ποιῶνται, βορέας πνεύσεται· ἐὰν δὲ τῶν νοτίων, νότος, καὶ τὴν τῶν ἄστρων κίνησιν. ῥυμοὶ δὲ ἦσαν οἱ ὀλκοὶ, εἰς μῆκος τοῦ πυρὸς ἐκτάσεις. ὑπολευκαίνονται, λευκαινόμενοι, τετάσιν οἱ ἀστέρες ἐπισπώμενοι) συριγμὸν ἢ συρμὸν λευκόν. λέγει δὲ τὰς Πλειάδας, οὐ ἀστέρες μέν ἐκ εἰσι, γένεσις δὲ πυρὸς φερομένου ἐκ παραπτίψεως ἀστέρων. σημεῖον δέ εἰσι πνεύματος, ὡσπερ καὶ ἡ ἀστραπὴ καὶ ἡ βροντὴ γίνεται ἐκ τῆς νεφῶν παραπτίψεως. καὶ ἡ ἔκλιψις ἐκάστου σημεῖον τοῦ πνεύματος γίνεται πνεύμασιν. καὶ οἱ Πλειάδες ἐν ἀστέρες ὅθεν ἐκπνέουσιν, ἐκεῖθεν δεῖ τὸ πνεῦμα ἐπισπώμενοι. ὠθεῖ γὰρ αὐτοὺς ἐκεῖθεν· ὅθεν καὶ ἡ καθὰ τὴν ὁδὸν λευκότης φαίνεται· ἐξωθούμενον γὰρ ὑπὸ πνοῆς ἀστέρων, καὶ πιπλόντων ὀλίγον ἐκ τοῦ αἰθέρος εἰς τὸν ἀέρα, τὸ πνεῦμα, ὅθεν ἂν μέλλῃ πνεύσειν, κινεῖ ἐκεῖθεν αὐτό.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

αὐτά· καὶ ἡ πορεία, καθ' ἃς χωρῆσι, λδυκήνετον, καθὰ φύσιν τῶν ἀστέρων ποιούντων. μένετε ἐπ' ὀλίγον, ἄχρις ἂν πάλιν εἰς τὴν αὐθέρα ἀνελθόντων, ἢ ἐκλαμψις σβεσθῇ, ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος. Εἰ δέ κεν ἄλλοι) Ἐὰν δὲ καὶ ἄλλοι ἀστέρες ἐναντίοι τῶν προθεσημμένων ὁρμῶσι, ἢ ἄλλοι ἐξ ἄλλων μερῶν, ὑπὸ τῶν φυλάσσ παυρίων ἀνέμων, οἵ τινες ἀναπνέοντες, ἄπακτοι ἢ ἀδιόρισοί εἰσι, καὶ πνέσσιν ἄμοσε ἔνθεν καὶ κεῖθεν, ὥστε μὴ διακρίνεσθαι. τὸ δὲ, ἄλλοι ἐξ ἄλλων μερῶν, ζητέσιν ἐκ παντὸς μέρες τοῦ κόσμου, ἀπ' ἀναβολῆς, δύσεως, ἄρκτε ἢ μεσημβρίας. τὸ δὲ ἐπ' ἀνδράσι τεκμήραθαι, ἤτοι ὅσον ἐπὶ τῇ τῶν ἀνθρώπων νοήσῃ καὶ σημειώσει, συγκεχυμένης ἀνέμους ἀεὶ προσδόκα. ἢ ὅδ' οἱ ἄνδρες τεκμήριον δυνηθεῖεν σχεῖν, ἐπὶ τῇ τέτων συγχύσῃ καὶ ἀκρισίᾳ.

Αὐτὰρ ὅτ' ἐξ εὔρεο καὶ ἐκ νότου ἀσπάπῃσιν,
Ἄλοτε δ' ἐκ ζεφύρεο, καὶ ἄλοτε πρὸς βορέαο,
Δὴ τότε δὴς πελάγει ἔνι δείδιε ναυπίλος ἀνὴρ,
Μή μιν, τῇ μὲ ἔχῃ πέλαγος, τῇ δ' ἐκ Διὸς ὕδωρ,
Ὑδατι γὰρ τοσσάδε πνεύσεται φορέον).

Αὐτὰρ ὅτ' ἐξ εὔρεο) Ἐπειδὰν δὲ ἐκ ξ εὔρου ἀσπάπῃ, καὶ ἐκ τῶ νότου, πάλιν δὲ ἐκ τῶ ζεφύρου, καὶ τῶ βορέου, ὅτε ἐν πελάγει ναύτης τὰς ὢν, φοβεῖται, μήποτε ὁ καιρὸς αὐτὸν ἐκβάλλῃ, τότε ἐκ τῶ πελάγες ὕδατι, καὶ τῷ ἐκ τῶ Διός· αἱ γὰρ ἀσπαπαὶ αὗται, ἐπὶ ἐσομένε σφόδρα πολὺ ὑετῶ γίνον). Φαίνονται γὰρ πανταχόθεν ἀσπαπαὶ, διέξοδον ἐ διδόντος τῇ πυκνότητι τῶ ἀέρος· καὶ χαμαίζηλον ἀφ' τοῦτο τὸ σημεῖον, μηνύσης τ συσάσεως. Μή μιν, τῇ μὲ ἔχῃ πέλαγος) Ἀπορῶν ἐνταῦθά φησιν, εἰπών, μὴ αὐτὸν τότε ἔχῃ τὸ πέλαγος· εἴασε γὰρ ἀτελῆ τὸν λόγον. τοῦτο δ' ἐν ἐσι, μηδὲ τὸ πέλαγος, μηδὲ ὁ ξ Διὸς ὄμβρος, ἤγουν ξ οὐρανοῦ· εἰπὼν γὰρ, τῇ δ' ἐκ Διὸς, εἴασε τὸ λοιπόν. σὺ δὲ νόει μὴ πέλαγος, ἀλλ' ἐκ ξ παρακειμένου, ὄμβρον· τῷ γὰρ ἐρανῷ ἐ πέλαγος, ἀλλ' ὄμβρος παρέπεται.

Πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα τοσσαθ' ὁρῶεν,
Οἷα μάλισα πόκοισιν ἐοικότα ἰνδάλλονται·
Ἢ διδύμη ἔζωσε Διὸς μέγα ἄρμα ἰόεις·
Ἢ καὶ που δὴς ἄλλοσε μηχανομένῳ ἔχῃ ἀσπὶς,
Πολλάκι λιμναῖαι τ' ἠϊόναλιαι ὄρνιθες

Απλη-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Απλητον κλύζον) σπιέμβωμ ὑδάτεσσιν·
Η λίμνῃω περὶ δηθὰ χελιδόνες αἰάζουσ),
Γαστέρι τύπτουσαι αὖτως ἐϊλυμβόν ὕδωρ
Η μᾶλλον δφλαὶ ἠμεναὶ, ὕδροισιν ὄνφαρ,
Αὐτόθεν ἐξ ὕδατος, πατέρες ἐοίκασι γυίνων·
Η πτύξῃ ὀρθρινὸν ἐρημάδη ὀλολυγών·
Ηπου ἢ λαλέρυζα πρὸ ἠϊόνι πεφυκύσῃ
Χείματος ἀρχομένῳ χέρσῳ ὑπέκυψε κορώνη·
Ηπου ἢ ποταμοῖο ἐβάψατο μέχρι πρὸ ἄκρους
Ωμους ἐκ κεφαλῆς· ἢ ἢ μάλα πᾶσα κολυμβᾷ,
Η πολλὴ τρέφεται πρὸ ὕδωρ παχέα κρώζουσα.

Πολλάκι δ' ἐρχομένων ὑετῶν) σις τῆς χροιᾶς. ἡ δὲ ἶρις ἐ μηνόχροός ἐστι. συνίσταται γὰρ ἐξ ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος· ἐμπίπτουσα γὰρ ἡ τοῦ ἡλίου ἀκτὶς, ἐκ τῆς παχύτητος διϊκνεῖσθαι μὴ δυναμένη, ἐπὶ πολὺ ἀνωλοῦται, καὶ ἀπτελεῖ τὴν χρόαν ταύτην· ἥτις ἐκ τῆς τῶν νεφῶν ὑγρότητος ἐστὶ παχύτητος τοῦ ἀέρος, καὶ τὸ ποικίλον ἔχει. Ἀναξιμένης δὲ τὴν ἶριν φησὶ γίνεσθαι, λιτὰ ἂν ἐπιπέσωσιν αἱ τοῦ ἡλίου αὐγαὶ εἰς παχὺν καὶ πυκνὸν ἀέρα· ὅθεν ἐστὶ μὲν ἐρυθρότερον αὐτὸ τοῦ ἡλίου φοινικοῦν φαίνεται, ἀμαυρούμενον ὑπὸ τῶν ἀκτίνων· τὸ δὲ μέλαν, κραδυόμενον ὑπὸ τῆς ὑγρότητος. καὶ νυκτὸς, φησὶ γίνεσθαι τὴν ἶριν ἀπὸ τῆς σελήνης· ἀλλ' ἐ πολλάκις, ἀφ' τὸ μὴ πανσέληνον εἶναι ἀφ' ἑκάστης, καὶ ἀσθενέστερον αὐτὴν φῶς ἔχειν τοῦ ἡλίου. Μητρόδωρος δὲ τὴν ἶριν αἰτιολογῶν, φησὶν, ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ συναφθῇ νέφος πεπυκνωμένον, τὴν ἰσχνοτέραν ἐμπιπλᾶσης τ αὐγῆς, ἐν νέφος κυα-

Ποικάκι δ' ἐρχομένων ὑετῶν, σεσεισμένα, οἷά ἐστι καὶ τὰ ἕλεα, καὶ δηλονότι σειόντος τοῦ κυμοῦ, ὡς ἐπὶ ζοφωδέστερον, χωροῦσι, κατ' ὀλίγον τοῦ ὠθουμένου πνεύματος αὐξομένου· ἢ ὅτι τὰ ὑγρὰ νέφη σημεῖά ἐστιν ὑετοῦ, ἃ δὴ πάντοις παρείκασε· χεδὸν γὰρ ἀπόγγοις ἔοικεν ἀβρέγχοις. Η διδύμη) Καὶ τὴν διδύμην ἶριν ἀκριβέστερον ὄμβρων σημεῖον ἡμῖν δίδωσιν· ἀπὸ γὰρ ὀλίγης τῆς ἀέρος συγχύσεως μίαν ἶριν συμβαίνει γίνεσθαι· ὅταν δὲ πολὺ τὸ πύκνωμα ᾖ τῶν νεφῶν, ἀπὸ τοῦ πορφύρεος χρόας ἐλάττων, ἄλλη γίνεται ὁμοία τῇ πρώτῃ, ὄμβρον πολὺν σημαίνουσα· διδύμη γὰρ ἡ διτή· ἔστω γὰρ αὐτῆς ἐσὶν ἡ σύσα-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

κυανοῦ διὰ τὴν κρᾶσιν γίνεται· τὸ δὲ φαινόμενον τῇ αὐγῇ, φοινικοῦν, τὸ δὲ ὂν κάτω, λευκόν. τοῦτο εἶναι ἔφασαν ἡλιακὴν φῶς. Ἀριστοτέλης δέ, καταπλεονάκις ἐποιήσατο ἔμφασιν· πέφυκε γὰρ τοῦτο, ἄσσειν τὴν ὄψιν ἀποσπᾶσθαι τοῖς λείοις σώμασι, καὶ καθακλωμένην καὶ ἀνακλωμένην. εἶδος δὲ εἶναι τὸ ἀέρα καὶ τὸ ὕδωρ. ἐπὰν εἶναι ἀνίκητον τοῦ ἡλίου νέφος συσχῇ, σωρεὸς καπνοῦ ῥανίδα, ἐγγίνεσθαι τὴν ὄψιν καθ' ἑκάστην ῥανίδα, καὶ τὴν ἐπὶ τὸν ἥλιον ἀνάκλασιν ἴσχειν. δόξαν δ' ἐμποιεῖν τὸ συνεχεῖς εἶναι τὰς ἐμφάσεις, κἂν ὁπόσην ἔχωσι διάστασιν, διὰ τὸ ἀφ' ἡμῶν ἐπ' ἐκείνους τόπους διάστημα. Η καπνοῦ τὰς ἄλωας) Οἱ λαμπτῆρες τὸν ἀέρα ὡς πῦρ εἶσι, καὶ μαρμαρυγὰς ἔχουσι καὶ παρέχουσιν, ὥσπερ ἡ σελήνη καὶ ὁ ἥλιος, ἐκ τοῦ ἀέρος παχύτητος, καὶ αὐγὰς ἄλωας ἔξωθεν αὐτῶν ἔχουσι. δῆλον οὖν ὅτι ἡ μέλαινα ἅλως ὑδατός ἐστι ποιητικὴ καὶ σημαντική. Πολλάκις λιμναῖαι) Ὅταν γὰρ αἴθηται ἐσομένης χειμῶνος τὰ ὄρνεα, τὰ φιλυδρώτατα τῶν ὑδατίων, ἐπειδὴ μετ' ὀλίγον ἔσται χειμὼν, καὶ μέλλουσιν ἀφίστασθαι τῶν ὑδάτων· πρὶν οὖν ἐλθεῖν τὸν χειμῶνα, ἀπολαύουσι τῶν ὑδάτων, ὡς μέλλοντα αὐτῶν ἀφίστασθαι, ἢ ἀποχοινίζεσθαι καὶ ἀποχωρίζεσθαι. τὸ δὲ, ἐνιέμενα ὑδάτεσιν, ἤγουν ἐγκαθεῖσαι ἑαυτὰς τοῖς ὕδασιν. Η λίμνῃσι φωλεὸν δηθὰ) Ἐὰν δὲ φωλεὸν λίμνῃσι χελιδόνες συνεχὲς ὀρυμῶσιν ἐν τῷ ἰσθμῷ, τῇ γαστέρι τύπτουσι τὸ λιμναῖον ὕδωρ, ὅτε ἔσται χειμών. εἰλυμένον δὲ ὕδωρ, τὸ ἤδη ἐκ τοῦ ἀνέμου συναφθὲν, καὶ ἤδη ἀρξάμενον κινεῖσθαι. Η μᾶλλον δηλαὶ γλυκεῖαι, ὑδροισιν) Ὁ ὑδρος ὅτος εἶδός ἐστιν ὄφεως, ὃς τοὺς βατράχους σιτεῖται, ὡς ἔγραψε παρὰ Νικάνδρῳ. διὰ τοῦτο ὑδροις ὄνειαρ ἐστὶ τοῖς βατράχοις ὁ ὑδρος. αὐτοὺς γὰρ σιτοῦνται. ὁ δὲ λόγος, ἔσται, φησὶ, τεκμήρια χειμῶνος, ὅταν μᾶλλον παρὰ τὸν σωθῆναι κραυγάζωσιν οἱ βάτραχοι, οἵ πινές εἰσιν ὑδροις ὄνειαρ. παρὰ αἰγιαλίοις δὲ ὅταν τῷ ἑρῷ μεῖζον κραυγάζωσι, προσδοκίᾳ τῶν νειλώων ὑδάτων, οἷς φιλυδροῦσι, καὶ ἀφ' ὧν ζῶσι. σημεῖον δὲ χειμῶνος αἱ φωναὶ τῶν βατράχων, ἐπειδὴ προσαθάνοντα μὴ ἀπ' αὐτῶν τὸ ὕδατος μεταλλαττομένου εἰς ψυχρότητα. χαίροντες δὲ πάνυ βοῶσιν ὁμοῦ· εἰσὶ μὲν γὰρ καὶ φίλυδροι, μάλιστα δὲ φιλοῦσι τὸ ὁμβρίον· γλυκύτερον γάρ ἐστι τὸ πηγαῖον. διὸ δύφρανται αὐτοὺς, καὶ τελέον ζωογονεῖν ποιεῖ, ὡς καὶ τὰ φυτὰ μᾶλλον ὑπὸ τοῦ ὁμβρινοῦ θάλλουσι· γελῶνοι δὲ λέγουσι), οἱ ἀδιάπλαστοι βάτραχοι, τετέκασι τὰ γλυνήματα τῶν βατράχων· ἀδιάπλαστα γὰρ πίκλον) καὶ ἄποδα ὡς ἐπὶ τὸ ἄρκιον. Η τρύζῃ) Η ὁλολυγὼν ὄρνεόν ἐστι, καπὶ τὸν τρυγόνα, τῇ ἐρήμῳ φιλυδρῶν. ἐν ἐρήμοις δὲ οὐκ ἔστι, καὶ ὑπὸ ψυχροῖς τόποις, ἀνπλαμβάνεται τοῦ κρύους, καὶ τρύζει τὰ προσόρθρια. οἱ δὲ φασιν, ὅπου καὶ ὁλολυγὼν ὁμοίως ἐπὶ τοῖς ὕδασι χαίρουσα, κράζει ἡμερινῷ, ζῷον ἔστι λιμναῖον καὶ φιλόψυχρον. ἔστιν οὖν ὑποφυκνες, ἀδιάθρωτον, ὁμοιον γῆς σύτερῳ, πολὺ μέντοι ἰσχνότερον. Ἀριστοτέλης δὲ ταῦτα οὐκ οἶδεν, ἀλλὰ τῷ τοῦ ἄρρενος βατράχου φωνῷ, σημεῖον εἶναί φησι πρὸς συνουσίας ὀργῶντος ἐπὶ τῷ ἡλιείαν. Η που καὶ λακέρυζα) Ὑπέκυψεν, ἀντὶ τοῦ ὑπῆλθε. λέγει δὲ τὸν χερσαῖον κορώνην· εἰσὶ γὰρ καὶ θαλάττιαι καθ' Ὁμηρον, Τανύσλωσοί τε κορῶναι. ὁ δὲ νοῦς, ἡ κορώνη ἡ χερσαία ἐν αἰγιαλοῖς προσῆλθε, καὶ παρὰ τὴν θαλάσσην ὤφθη, ἀρχομένης χειμῶνος· φιλυδρεῖ γὰρ τοῖς ὕδασιν.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δασιν. Η που κὴ ποταμηῖο) Καὶ ἡ ηερώνη, κὴ ὁ ηέραξ· ᾧ γὰρ αὐτᾶ ηλύες εἰσί· σφόδρα καταίξηθεν τὸ σῶμα ἔχοντες, ᾗς ὑγραίνουσι σφόδρα φιλησδᾶσιν. ὁταν οὖν ἀρχῆς χειμῶνος ἐπιγένωνται, ἡ ὑγρασία αὐτῶν τὸ περιέχον τὰ σώματα, τότε ἐπινήχονται ᾗς ὕδασι, σφόδρα γὰρ χαίρουσιν αὐτοῖς· ἀνὴρ γὰρ χειμῶνος, ὃ τοσοῦτον ᾗ ὕδωρ, ᾗ ποτάμιον ἢ ᾗ θαλάσσιον ὡῒς ὀνίνησιν, εἰ μὴ ἑ ᾗ περιέχον ὑγρὸν ὑπάρχῃ. ὁ δὲ λόγος, πολλάκις κὴ ἐν ποταμῷ ἀπὸ κεφαλῆς ἕως ἄκρων τῶν ὠμων ἐβάπτισεν αὐτὴν, ἕως ὅτε κὴ πᾶσα νήχηται· Η πολλὴ τρέφεται) Η πολλάκις ἐὰν ἀναστρέφηται ἐν ποταμίοις ὕδασιν ἢ θαλασσίοις, παχεῖα τῇ φωνῇ κρώζουσα. τὸ δὲ διαυτῶν ἀφιέναι φωνὴν, δηλοῖ τῷ ἐν παντὸς τοῦ σώματος ἐν διαθέσεως κραυγῷ, ἐπὶ ᾗς χειμαινομένοις καὶ ἡδονῇ ὕδασιν. Αλλως. Οσαι τῶν ὀρνίθων βρέχουσαι ἑαυτὰς τῷ ὕδατι, αἰσθημαίνουσιν ὑετοὺς, ἐπομιμνήσκονται τοῦ πάθους, ἀφ' ὧν μέλλουσι ὄμβρον, καθαίρωσι τὰ ἀποφυόντα τῶν ἐπιζυγίων ἐν ταῖς ἀναβάσεσι τῶν ποταμῶν. λιμναῖαι μὲν οὖν ὄρνιθες, νῆσσαι, χῆνες, ἐρωδιοί. ἁλίαι δὲ, αἰθυῖαι· γελῆνοι δὲ, οἱ ἀλφάστλαστοι βάτραχοι. κεκράγασι δὲ οἱ βάτραχοι, χαίροντες τῷ ὑγρῷ. τὴν δὲ ὁλολυγόνα φασὶν εἶναι ζῷον, λιμναῖον, ἀπλοῦν, ἰχνόν. βάπτει δὲ ἑαυτὴν ἡ ηερώνη, ψύχουσα ζητοῦσα, ἤτοι ψυχομένου τοῦ ἔξω ἀέρος, καὶ εἰς τὸ βάθος περιωθουμένης τῆς θερμότητος ᾗς ζῴοις, ἢ ἑ ἀφ' τὸν ἔξω θερμότητα· ὡς γὰρ ἐπιτροπὸν ἔσθ' τὸ ὑετῶν θερμότερον αὐτὸς ἑαυτοῦ ὁ πεῖνος ἀήρ, σκιαζομένου τοῦ πυρώδους ἐν τῆς ψυχομένης νεφέλης καὶ εἰς ὕδωρ μεταβαλλούσης, καὶ εἰς τὸ πεῖνον χωροῦντος τόπον. ἡ πολλὰ χαίρει τε καὶ σπαρτᾷ, ἐπειδὴ φιλεῖ τὰ ψυχρὰ, ἀφ' τὸ φλέγεσθαι· ἔστι γὰρ ἡ ηερώνη φυσικῶς θερμή.

Καί βόες ἤδη τοι πάρος ὕδατος ἐκ δίοιο,
Οὐρανὸν εἰσανιδόντες, ἀπ' αἰθέρος ὠσφρήσαντο.
Καὶ κοίλης μύρμηκες ὀχῆς ἔξ ὠέα πάντα
Θᾶσσον ἀνωΐξαντο· ἑ ἀθρόον ὤφθεν ἴουλοι
Τείχη ἀνέρποντες· καὶ πλαζόμενοι σκώληκες
Κῆνοι, τοὺς καλέουσι μυγαλίνης ἔντερα γαλῆς.
Καί τηθαὶ ὄρνιθες, ταὶ ἀλέκτορες ὄζεσθύοντο,
Εὖ ἐφθείσαντο καὶ ἔκρωξαν μάλα φωνῇ,
Οἷόν τε σαλπίγγων φόρμιγξ ὑπὸ δαιδαλέων χείρων.

Καὶ βόες ἤδη τοι) Οἱ βόες ἠραγωμένους καὶ διαχάσκοντας ἔχοντες τοὺς μυκτῆρας, ἀισθητικώτερόν ἐστι πρὸς τὸν ἀνθρώπων ἀισθητικώτερόν ἐστιν· ἐξαιρέτως δὲ οἱ βοῦς ἀφ' τῶν τῶν μυκ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

μυκλήρων ἀραίωσιν. ὅταν οὖν ἀναθυμιάσεών τινων ἐκ τῆς γῆς ἀκρασίας αἴσθωνται, ἀφορῶντες ὡς ἐπὶ τὸν οὐρανὸν, ὀσφραίνονται τῆς τοῦ ἀέρος παχύτητος, πρὶν γνέσθαι τὸν ὄμβρον· καὶ δηλοῦσιν ἐκ τῆς ὀσφρήσεως, ὅτι ἔσται χιμών. διὸ καὶ διὰ ρύτερον οἱ μυκτῆρες γεγόνασι, παχυνομένης τοῦ ἀέρος, καὶ οὐκ εὐμαρῶς ἑλκομένης, ἀλλὰ βιαιότερον· ὅθεν τὸν ἄνωθεν ἕλκουσιν ἀέρα μᾶλλον ἐψυγμένον. ἢ ἐκ τοῦ θέρματος μᾶλλον πεπιλημένης, καὶ τοῦ θερμοῦ ἀναποκλειομένης, δεόμενοι πλείονος ἐμψύξεως, τὸν κατεψυγμένον ἕλκουσιν ἀέρα. ἢ οἱ βόες ἐν τῇ ὀσφρήσει ἄνωθεν ἕλκοντες τὸν ἀέρα, χειμῶνα σημαίνουσι· πυκνουμένου γὰρ τοῦ περιγείου ἀέρος καὶ θερμοτέρου γινομένου, τὸ λεπτότερον καὶ ψυχρότερον πνεῦσιν ἀναπνεῖν τε καὶ ἕλκειν ἔξωθεν· τὸ δὲ, ὕδατος ἐνδιοῖο, ἤγουν μεσημβρινοῦ καὶ ἀρκτικοῦ. ὁ δὲ λόγος, ἐπιγείου καθεστῶτος ὄμβρου, οἱ βόες πρότερον ἀναβλέψαντες εἰς τὸν ἀέρα ἐπιπωτῶντα τῷ ἀέρι, καὶ παραπλήσιοι γίνονται ὀσφραινομένοις. Καὶ κοίλης μύρμηκες) Ἡ γῆ σῶμά ἐστι τριχῇ διῃρημένον. ἐκ ἀναγκαῖον σῶμα αὐτὴν εἶναι, κεκραμένην ὑγρῷ τε καὶ θερμῷ. ἔνιοι οὖν τόποι αὐτῆς καπνὸν ἀφιᾶσιν, ἄλλοι δὲ φρέατα καὶ ὕδατα, καὶ δηλονότι κέκραται τοῖς ὀφειλομένοις. ἐν μὲν τῷ θέρει, ἐν βάθει αὐτῆς ἐστιν ἡ ψυχρότης, τὰ δὲ ἄνω θερμά· τῷ δὲ χιμῶνι, ἔμπαλιν, τὰ μὲν βαθέα, σφόδρα θερμά· καὶ βάθος μὲν αὐτῆς ἡ θερμότης χωρεῖ· τὰ δὲ ἄνω ἔψυκται, ὡς ἐπὶ τὸν ἀνθρωπίνων σωμάτων· τὸ μὲν γὰρ ἔνδον, τῷ χειμῶνι θερμόν ἐστιν, ὥστε καὶ ἐκ τῶν οὔρων καὶ ἐκ τῶν σκυβάλων καπνὸν ἀφιέναι (διὰ τὸ οἱ αὐχμοὶ καὶ τὰ ὀρύγματα χιμῶνι, ἐπειδὴ ἐν βάθει ἐστὶ θερμά,) τῷ δὲ θέρει ψυχρά. οἱ δίνων μύρμηκες, ἐπειδὴ ἐν βάθει τῆς γῆς εἰσι, τῷ δὲ χιμῶνι τὰ ἐν τῷ βάθει πάντα πυροῦται, τὸ θερμότατα τῷ ὑπὸ γῆν φέροντες, χιμῶνος ὄντος ἀνέρχονται, καὶ τὰ ὠὰ αὐτῶν μεταγουσι, καὶ εἰσι σημεῖα χιμῶνος. εἶπον δέ ἔνιοι τῶν φιλοσόφων, ὅτι ἐκ τῆς τοῦ ἡλίου κινήσεως τοῦτο συμβαίνει· ὅτε μὲν χιμών ἐστι, βαθύτερος γίνεται, νότιος ὤν· τὰ δὲ νότια θερμαλά, καὶ τὸν γῆν θερμαίνει· τῷ δὲ θέρει, βόρειός ἐστιν· ὅθεν τὰ μὲν ἄνω θερμαίνεται· τὰ δὲ κάτω ἔψυκται. διὸ καὶ οἱ ποιηταὶ ἀεὶ ζόμβροι, οὐσίαις τῶν πηγῶν χιμῶνι θερμὸν ῥεῖν εἶπον, θέρει δὲ ψυχρόν. ἢ οἱ μύρμηκες ἐκ τῶν μυρμηκιῶν διὰ τοῦδε ἔξω φέρουσι τὰ ὠά, ψύχοντες ὑπόψια σηπεδόνος· ἀντιπεριϊσταμένης γὰρ τῷ θερμῷ τοῦ ψυχροῦ, καὶ τῶν μυρμηκιῶν πυρουμένων, αἰσθάνονται, ὅπου ψύχος ἔστι, οἱ μύρμηκες. Ἰξιλοι) Ὁ ἴξιλος, σκώληξ ἐστὶ πολύπους· μυρίοις γὰρ ποσὶ χρῆται, ὁμοίως τοῖς σκολοπένδραις· οἱ δὲ αὐτοὶ τοῖς σκολοπένδραις ἰούλους φασί. τὰ δὲ τῆς γῆς ἔντερα οὕτω καλοῦντες, ὡς ὄντων μέν, ὅτι ἔστω πεφύκασι, καὶ ἔστω φύσεως ἔχουσιν· ἐντέροις γὰρ ἐοίκασιν, ἐπιμήκεις ὄντες, καὶ ὅτι ἐν βάθει τῆς γῆς εἰσιν ὡς τὸ πολὺ ἔντερα, σημεῖον οὖν χειμῶνος καὶ τὰ τῆς γῆς ἔντερα. πάντων δὲ τούτων αἴτιον, ὁ τῆς ἐπὶ τὰ ἔξω κινήσεως τοῦ ὑπερκειμένου θερμοῦ πλεονασμός. Καὶ πτηναὶ ὄρνιθες) Τὰς κατοικιδίους ὄρνιθας λέγει· ἐδήλωσε γὰρ εἰπὼν, αἵτινες ἐκ τοῦ ἀλέκτορος ἐγίνοντο. ἵπται δὲ λέγονται, αἱ ἡμεροι καὶ πρακεῖαι. ἀσπιλὸν δὲ τὸ σῶμα ἔχουσιν αἱ κατοικίδιοι ὄρνιθες· καὶ ἐπειδὰν ἀέρος ὑγρότητος αἴσθωνται,

καὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

καὶ ψύξις ἐμπέσῃ, οὕτως περὶ τὸ σῶμα δήξεως γινομένης ἀντιλαμβάνονται καὶ αἰσθάνονται, καὶ συνεχέστερον φθεγγόμενοι, τῇ δήξει συνεχόμενοι· πιεζόμενοι δὲ μᾶλλον τῇ δήξει, καὶ μειζόνως κρώζουσιν. ἔπειτα διδοῦς μίμησιν τῆς ποιᾶς φωνῆς αὐτῶν, φησιν, ὡς ὅταν ὕδωρ ἐπὶ ὕδατι καταχέωσιν.

Δή ποτε καὶ γλυεαὶ κορώνων, καὶ φῦλα κολοιῶν,
Ὑδατος ἐρχομένοιο Διὸς πάρα σπερ ἐγένοντο,
Φαινόμενοι ἀγέλῃδα, καὶ ἱρήκεσσιν ὁμοῖον
Φθεγξάμενοι· καί που κόρακες δίης ταλαγμὸς
Φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο·
Ἢ ποτὲ κρώξαντε βαρείῃ διανάκι φωνῇ
Μακρὸν ἐπιῤῥοιζοῦσι γυναξάμενοι πτερὰ πυκνά·
Καὶ νῆσσαι οἰκυροὶ, ὑπωρόφιοί τε κολοιοὶ
Ἐρχόμενοι κατὰ γεῖσα, πτεροῖσιν πταίσσονται πτερύγεσσιν·
Ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λελιημώς·
Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
Γίνεσθω. --

Δή ποτε καὶ γλυεαὶ κορώνων) Ὁμοίως καὶ οἱ κόρακες, καὶ οἱ κολοιοὶ, κατὰ συνροφὴν τῶν ἀγέλας φαινόμενοι, τὸ ἐκ Διὸς ἐρχομένου ὕδατος, οἷον χειμῶνος ἐσομένου σημεῖόν εἰσι, διὰ τὸ ἱέραξιν ὁμοίως φθεγξάμενοι, δηλονότι ὀξείᾳ φωνῇ κραυγάζοντες· τοιαύτη γὰρ ἡ τῶν ἱεράκων φωνή. Ἀλλως. Οἱ κολοιοὶ δὲ, ἐσὶν ὅτε οἱ κόρακες ἀγεληδὸν πετόμενοι, καὶ ἱέρακι ὁμοίως φθεγγόμενοι, οἱ μιμούμενοι τὸ ἀπὸ τῶν ταλαγμῶν ψόφον κόρακες, ὑετὸν προδηλοῦσιν· ἢ οἱ ἀνακρώζοντες μεγάλῃ τῇ φωνῇ, καὶ ταῖς πτέρυγας πτάσσοντες. καὶ αἱ κατοικίδιοι δὲ νῆσσαι, καὶ οἱ κολοιοὶ πτάσσοντες τὰ πτερὰ, τὰ ὄμβρια δηλοῦσι. Δίης ταλαγμὸς) Καὶ οἱ κόρακες ὕδατος οἱονεὶ γλυκασμένου, ἐμιμήσαντο τῇ φωνῇ τοὺς μεγάλους ταλαγμοὺς, ὅτω, κλάξ. δίης δὲ, ἀντὶ τοῦ μεγάλης. Ὁμηρος, Εἰς ἅλα δῖαν. ἢ ὅτως, ἐὰν συγκεχυμένῳ τινὶ φωνὴν ἔχωσιν, ὁμοίαν ταλαγμοῖς ὄμβρια, χειμῶνα σημαίνουσιν. Ἢ ποτὲ καὶ κρώξαντε) Καί ποτε πάλιν βαρείᾳ τῇ φωνῇ τοι συνεχείᾳ τῆς κραυγῆς, ἐσομένου χειμῶνος σημεῖον γίνονται· συλλαμβάνεται γὰρ αὐτοῖς βοῶντας παραδείκνυσι· φιλοῦσι γὰρ τοῖς ὑγροῖς. τὸ δὲ, μακρὸν ἐπιῤῥοιζοῦσιν, ἀντὶ τοῦ μεγάλως

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

λως ἠχοῦσι τοῖς πτεροῖς, πάντα αὐτῶν τὰ πτερὰ ἀναπιναξάμενοι.
Καὶ νῆσσαι οἰκουροί) Νῆσσα εἶδός ἐστιν ὀρνέου· ὁ δὲ λόγος, ὅτι αἱ τῶν νησσῶν οἰκουροί, ὅτι οἱ πρὸς τοὺς ὀρόφους ἀναστρεφόμενοι κηλοιοὶ καὶ τὰς τῶν οἰκημάτων ἐξοχάς, ὑπὲρ τοῦ ζητεῖν σκέπας, ἀναπινάσσοντες τὰ πτερὰ, σημεῖά εἰσι χειμῶνος. πάντα δὲ τὰ ὄρνεα διαγόμενα, ἀναίσσουσι τὰ πτερά. χεῖσα δὲ, ἡ τῶν οἰκημάτων ἐξοχὴ, εἰς ἣν ἐπικαθέζονται, ζητοῦντες σκέπας, ἢ τὰ λεγόμενα σκόμια. Εὐριπίδης, Ῥήξας παλαιὰ χεῖσα πτελόνων πόνον. Ἀφαινάσσουσι δὲ τὰς πτέρυγας, ἀφὼ τὴν τοῦ ἀέρος ὑγρότητα. Ἠὲ πὶ κῦμα δινήσῃ) Ὅταν ἐρωδιὸς μὴ πολλῆς κλαγγῆς ἐπὶ τὴν θάλασσαν σπεύδῃ, τὸ αὐτὸ δηλοῖ. Τῶν τοι μηδὲν) Τούτων πάντων τῶν ὠφελημάτων τεκμηρίων, μηδέν σοι ἔστω ἀπόβλητον, τῷ δὲ σὺν Διὸς ὕδωρ σκοπουμένῳ καὶ ἐπιτηρουμένῳ χειμῶνα ἐσόμενον.

-- μὴ δ' εἴ κεν ἐπὶ πλέον ἠὲ πάροιθεν
Δάκνωσιν μῦαι, καὶ ἐφ' αἵματος ἱμείρωνται·
Ἢ λύχνοιο μύκητες ἀγείρωνται θεὶ μύξαν,
Νύκλα τ' σκολίῳ, μὴ δ' ἰὼ ὑπὸ χείματος ὥρῃ,
Λύχνων ἄλλοτε μέν τε φάος τ' κόσμον ὀρώρῃ,
Ἄλλοτε δ' αἴθωσιν ἀπὸ φλόγες, ἠύτε κῶφαι
Πομφόλυγες· μὴ δ' εἴ κεν ἐπαυτόφι μαρμαίρωσιν
Ἀκτῖνες· μὴδ' ἰὼ θέρεος μέγα πεπταμένοιο
Νηπιάχοι ὄρνιθες ἐπασύτεροι φορέωνται.
Μηδὲ σύγ' ἠὼς χύτρης ἠὲ τρίποδος πυελίτεω
Σπινθῆρες ὅτ' ἔωσι θεὶ πλέονες, λιγαθέοντες·
Μηδὲ τ' ἀσβόλιον ὅπότ' ἄνθρακος αἰθομένοιο
Λάμπηται θεὶ σήματ' ἐοικότα κεδνὰ εἰδόσιν.
Ἀλλ' ἐπὶ καὶ τὰ δόκευε θεσπεσίων ὑετοῖο.

Μὴ δ' εἴ κεν ἐπὶ πλέον) Αἱ μῦαι τοῖς ὑγροῖς σφόδρα χαίρουσι, καὶ ἀεὶ τὰς ὑγρὰς οὐσίας σιτοῦνται· ὅτε γοῦν ὑγρὸν ἀέρα αἰσθάνονται χειμῶνα ἐσόμενον, καὶ τὸ σῶμα ὑγραίνεται, τότε μᾶλλον καθάπτονται τοῦ αἵματος ὑγραινόμενοι ὑπὸ τοῦ ἐχόντος. ὁ δὲ λόγος, μηδὲ ἐὰν πλέον τοῦ χρὴς αἱ μῦαι δάκνωσι, καὶ ἐπιθυμῶσι τοῦ αἵματος τῆς σαρκὸς, μηδενὸς τούτων καταφρόνει. ἢ ἀφὸ τοῦδε αἱ μῦαι σφοδρότερον

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

θρότερον διάκνωσιν, πύκνωσιν τοῦ ἀέρος δηλοῦσιν, ἐπειδὴ ἀνακαπνομένου τοῦ ὕδατος, μέγα καὶ σφοδρότερον νύσσουσι· ἢ καὶ πλείονος ὑγροῦ δέονται, διὰ τὴν θερμότητα· ἢ ἐν βάθει τοῦ ἄέρματος χωρουῦντος, διάκνουσι μᾶλλον διὰ τὴν πύκνωσιν τοῦ δέρματος, ἵνα ἐφίκωνται τοῦ ἄέρατος· ἢ καὶ διὰ αὐτὴν τὴν τοῦ δέρματος πύκνωσιν, πλείονος δεῖται πλησμονῆς. ἠραιωμένου γὰρ τοῦ δέρματος, ἐκ τῶν ἀδήλων πόρων ῥᾳδίως ἐκπνεύσαντος εἴκει τὸ αἷμα.

Η λύχνοιο μύκητες) Τὸ πῦρ ὠμολόγησε ξηρᾶς οὐσίας, ὑγρὸς δὲ ὁ ἀήρ. πολλάκις οὖν ἐν χάλκοις ἐμπίπλων τὸ πυρὶ, ἀποτελεῖ φύτρας τοὺς σπινθῆρας· δύο γὰρ οὐσίαι ἐναντίαι ἀλλήλαις ἐμπίπλωσαι, τοῦτο ἀποτελοῦσι. τὸ γὰρ πῦρ μὴ φέρον τὸ ὑγρὸν τοῦ ἀέρος τοῦ ἐμπεσόντος, ἀφίησί τινας σπινθῆρας. ὅθεν καὶ ὁ Καλλίμαχος νοήσας, εἶπεν, Εὖτ' ἂν λύχνος δαιομένου ἄδδιν ἐγκύσῃ μύκητες. ὥστε ἔχειν δεῖ, ὁπόταν τὸ περὶ τοὺς μύξας τῶν λύχνων μύκητες αἰρίζωνται. συμβαίνει δὲ τοῦτο, διὰ τὸ παχὺ τοῦ ἀέρος· καὶ γὰρ κατὰ τὴν χειμερινὴν ὥραν, τὸ παρὰ τῷ λύχνῳ φῶς, ποτὲ μὲν οὐ τάχει φέρεται, ποτὲ δὲ πομφόλυξιν ὁμοίαν ἀποβάλλει. ταραχῆς δὲ ἀέρος ταῦτα σημεῖα.

Μηδ' ὧν ὑπὸ χείματος) Μηδὲ ξυτὸ φησι τὸ τεκμήριον παραπέμπου, ὅταν οὐ κατὰ τῷ χειμερινῷ τὸ ἀπὸ τῶν λύχνων φῶς, ἔωθ' ὅτε μὲν κατμίως φαίνηται, ἄλλοτε δὲ πολλῆς ὑγρότητος ἀέρος ἐμπιπλάσης, ἀπὸ ξυτοῦ ὥστε πνα πυρώδη ἐπαναστήματα ὁρμᾷ καὶ φαίνηται. κυρίως μὲν ἔν πομφόλυξ ἐστὶν, ἡ ἐπιπεσόντος ὕδατος οὐ ὑποκειμένου ὕδατι ἐπανάστασις· νῦν δὲ ἐπὶ πυρὸς κατεχρήσατο. ὥστε ἔν οὐ πυρὶ ἡ λύχνῳ καιομένῳ, ἐὰν ὕδωρ ἐπιῤῥύνωμεν, δύθεως ξυτοῦ πυρὸς φλογώδεις γίνονται ἐπαναστάσεις. τὸ αὐτὸν τρόπον ὑγρότητος ἐμπιπτούσης μετὰ τινος ὀλίγου ἤχου, αἱ ξυτοῦ γίνονται περὶ τὸ λύχνου πομφόλυγες. ὅταν ἔν πελαπτόμενον λύχνου μύκητες σωισσῶνται περὶ χείματος ὥραν, καὶ ὅταν αἱ πομφόλυγες, ποτὲ μὲν τεταγμένως καὶ κατὰ φύσιν εἰς ὕψος ἀναφέρωνται, ποτὲ δὲ πλαγιάζωνται, καὶ λεπταὶ πομφόλυγες περὶ αὐτὰς γίνωνται, καὶ σπινθῆρας ἀπορρέωσι, μηδὲ τοῦτ' ἔσω σοι ἀπόβλητον καὶ κενοῦ σημεῖον. Μηδ' εἴκειν ἐπ' αὐτόφι) Ηγεῖται ἐπ' αὐτὸν τὸν λύχνον, τῆς παχύτητος καὶ ὑγρότητος σνικώσης σφόδρα, διόλου ὁ λύχνος λάμπειν δύναται· ἀλλ' ἀκτῖνας ἀφίησι λεπτὰς καὶ ἐσκορπισμένας. ἔστιν ἰδεῖν πόρρωθεν ξυτοῦ λύχνου ἀποστάντας, διηκούσας λεπτὰς ἀπ' αὐτοῦ ἀκτῖνας, διὰ τὸ μὴ δυνάσθαι διόλου λάμπειν σὺν ξυποκειμένου ἀέρος· μηδὲ τοῦτο ἔν ξυ σημεῖον καταφρόνει. Μηδ' ἐν ὥρῃ τέρεος) Εἴρηται ὅτι ἀδιάκριτοί εἰσιν αἱ ξυ ἔβους ὧραι σὺν ταῖς ἄλλαις χώραις. μὴ καταφρονήσῃς ἔν τούτου ξυ σημείου, ἐάν ποτε τέρεος ἀναπεπταμένου ἔ πάνυ καθαροῦ ὄντος, τὰς νήσους ἔκ ὄρνις ἀλλεπαλλήλας θεάσῃ ἀνερχομένας, μηδὲ παραπέμψῃς· χείμων γὰρ ἔσται. ἢ ἐὰν δύο ἵας ὅσης, ὡς σὺ θερινῷ καθεσήκασι, αἱ νῆσαι κατὰ πολῆθος συνηθροισμένας φέρωνται ἐπ' ἀλλήλας, χείμωνα σκέδεχου ἐσόμενον. Μηδὲ σύγ' ἢ χύτρης) Μὴ ἀμελήσῃς δέ φησι, μηδὲ τῶν περὶ ταῖς χύτραις καὶ τοῖς πυρεκτάταις τρίποσι συμβαινόντων, ὅταν σπινθήρων πολῆθος περὶ αὐτὰς ἔλέπηται. Μηδὲ κατὰ σποδιάν) Ομοίως δὲ καὶ σὺν τῇ σποδιᾷ ὑπὸ τοῖς διαπύρους ἄνθρακιν, ἐὰν ἀπόῤῥοιαι γίνωνται κέγχροις ὁμοίαι, ὄμβρος δεῖ περιδοκᾶν καὶ χείμωνα.

τὸ

Τὸ δὲ τριῶν συμβαίνῃ ἀφ' ἑνὸς πολλῷ δ' ἀέρος ἀγωγιμώτερον. ἐὰν δὲ καμομένων ἀνθράκων ἐπὶ τῇ ἀποδιᾷ, οἱονεὶ κέγχροις ὁμοίοις ἀστιγμῆρες ὀρῶνται, ὄμβρος ἐνδέχεται. ἀποδιὰν δὲ λέγω, αὐτὸν τὸν ἐχάραν, τὸν ἐσίαν.

Εἰ γέμῳ ἠερόεσσα πάρεξ ὄρεος μεγάλοιο
Πυθμένα τείνῃ νεφέλη, ἄκραι δὲ κολῶναι
Φαίνωνται καθαραί, μάλα κεν τήθ' ὑπόδιος εἴης.
Εὐδιός κ' εἴης, καί, ὅτε πλατέος περὶ πόντου
Φαίνῃ θαμαλὴ νεφέλη, μηδ' ὑψόθι κύρῃ.
Αλλ' αὐτὸν πλαταμῶνι ἐοικυῖα θαλίβῃ ὁμοίη.

Εἰ γέμῳ ἠερόεσσα) Ηγουν λεπτομερής· ἐὰν δὲν τριαύτη νεφέλη τοῖς ὑπωρείαις παρεκτείνηται, αἱ δὲ ἀκρώρειαι καθαραὶ φαίνωνται, εὐδίαν ἰδὼν γινομένην. ὁμοίως δὲ κἂν ἐὰν ἐν τῇ θαλάσσῃ ὁμοία πλαταμῶνι ἐπικάθηται νεφέλη, λεία καὶ λευκή, καὶ αὐτὸν ἀμετεωρίζεται, εὐδίαν σημαίνει. τοιαύτας γὰρ τὰς τοιαύτας, ἀφ' ἑνὸς λεπτομέρειαν εὐδίαν μᾶλλον καὶ συνοχὴν τοῦ ἀέρος ἐμφαίνουσι. τὸ δὲ πάρεξ, ἡ μὴ παρὰ τὴν ἐξύπτητα σημαίνει· ἡ δὲ ἐξ, τὴν ὀλίγην ἀπὸ τοῦ ὄρους ἀποχήν. πυθμένα δὲ, τὴν ὑπώρειαν λέγει· πυθμένες γὰρ ὀρῶν καλοῦνται αὐτῶν αἱ ὑπώρειαι. μεταβεβηκὼς οὖν ἐπὶ τὰ τῆς εὐδίας σημεῖα, φησὶν ὅτι ἐὰν ἀχλυώδης νεφέλη παρὰ τὰ πυθμένα, καὶ τὴν πεφιλημένα τοῦ μεγάλου ὄρους τείνηται καὶ φέρηται, τὰ δὲ ἐν ὕψει τοῦ ὄρους καθαρεύουσα νεφῶν φαίνηται, σφόδρα εὔδιον ἂν εἴη τὸ καπνίσμα τοῦ ἀέρος. ἢ ἐὰν αἱ νεφέλαι ὦσι ἔχωνται τῶν ὀρῶν τὰ παρὰ τοῖς πυθμέσι σκοπῶσιν, αἱ δὲ ἀκρώρειαι καθαραὶ θεωρῶνται, εὐδίαν δεῖ προσδοκᾶν. ἀσαύτως καὶ ὅταν παρὰ τοῖς αἰγιαλοῖς νέφος, οἷα ἀσχιβαθὴς καὶ ἐπιμήκης πέτρα θεωρῆται, εὐδίαν σημαίνει. ἢ ἐὰν ἐπὶ τὸ πόντον χθαμαλὴ νεφέλη φέρηται, ἀνέμων μὴ ἀναρριπιζόντων αὐτῶν, ἐν παπεινώσει οὔσαν, σχεδὸν καὶ πλησίον τοῦ ὕδατος, εὐδίαν σημαίνει. πλαταμὼν δέ ἐστι πέτρα, ὀλίγην ἐξέχουσα τῆς θαλάσσης, λεία τις οὖσα καὶ ὁμαλὴ καὶ πλατεῖα. Απολλώνιος, Εἴματα εἴσαρ λεῖα ἐπὶ πλαταμῶνι, τὰ ἐκ ἀπέβαλε θάλασσα κύμασι, χειμερίη δὲ πύλας ἀπέκλυζεν ἁλμυρή. ὁ δὲ λόγος, εὔδιον ἂν εἴη σημεῖον τοιοῦτο, ὅταν ἐπὶ τὸ πόντον φαίνηται νεφέλη, καὶ μὴ ἐν ὕψει ὑπάρχῃ, ἀλλ' αὐτοῦ πλησίον τοῦ πόντου παραθλίβῃ, ὅμοιος πλαταμῶσιν ὁμοίως· καὶ γὰρ καὶ αὐτὴ ἡ νεφέλη ὁμοίως ὀλίγην ὑποδεδυκυῖα τῆς θαλάσσης ὑπάρχει, καθάπερ ὁ πλαταμών· ἔστι γὰρ πλαταμών, ὡς ἔφην, ἡ ὀλίγην ὑπερκύπτουσα τῆς θαλάσσης ὁμαλὴ πέτρα καὶ ὑφαλος.

Σκέπτεο

Σκέπτεο δ', βύδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον·
Εἰς δὲ γαλιωσίω χθμωνόθεν· οὔ τοι μάλα χρὴ,
Ες φάτνιον ὁρᾶσθαι, τῷ καρκίνος ἀμφιβέβηκε
Πρῶτα καθαιρομένῳ πάσης ὑπένερθεν ὁμίχλης.
Κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χθμῶνι,
Καὶ φλόγες ἠσύχιαι λύχνων, καὶ νυκτερὶς γλαυξ
Ησυχον ἀείδουσα, μυδαινομένου χθμῶνος
Γινέσθω τοι σῆμα, καὶ ἥσυχα ποικίλλουσα,
Ωρη ἐαπερίη κρώζη πολύφωνος κορώνη,
Καὶ κόρακες μουνοὶ μὲν, ἐρημαῖοι βοόωντες
Διαυάκις. αὐτὰρ ἔπειτα μεταθρέσα κεκλήγοντες·
Πλησιέστερον δ' ἀγχιδόμου ἐπὶ κοίτοιο μέδοντος,
Φωνῆς ἔμπλεοι, χαίρει κέ τις ὥϊστοιτο,
Οἷα τὰ μὲν, βοόωσι, λιγαινομένοισιν ὁμοῖα.
Πολλὰ δ' ὑπὸ δενδρείοιο θοῇ φλοὸν ἄλλοτ' ἐπ' αὐτὸν
Ηχί τε κείουσιν καὶ ὑπὸ ζόφοι ἀπερύουσι.

Σκέπτεο) Εὐδίας μὲν ἔσης, σημεῖον λάμβανε χθμῶνος· χθμῶνος δὲ ὄντος, σημεῖα ζήτει γαλιώσης· μάλιστα δὲ πάντων σκόπει τὸν φάτνον καὶ ζήτει· καθαιρομένης γὰρ τοῦ ἀχλύος, μεταβολὴν τὸν ἐν χθμῶνος εἰς εὐδίαν ὑποδηλοῖ· περισκόπει οὖν τὰ τεκμήρια τοῦ χειμῶνος, ὅταν ἐν εὐδίᾳ ᾖ· ἀπὸ δὲ χειμῶνος λήξαντος, ἐν τῇ γαλιώσῃ· σφόδρα δὲ ἀναγκαῖόν ἐστιν ἀφορᾶν πρὸς τὸν φάτνον, ὃν ὁ καρκίνος περικύκλοις περίεχει. περισκόπει δὲ αὐτὸν πρῶτα καθαιρομένῳ, ἤγουν ἤδη ἀρχομένου αὐτοῦ τοῦ καθαίρεσθαι, πάσης ὁμίχλης ὑπένερθεν γινομένης, ἐκτὸς αὐτῆς. Κείνη γὰρ φθίνοντι) Ἐκείνη γὰρ ἡ φάτνη φθίνοντος χειμῶνος καθαίρεται. ὃ δῆλον ὅτι σφόδρα ἀκριβὲς τὸ σημεῖόν ἐστιν εὐδίας· ἡ γὰρ φάτνη σφόδρα ἐστὶν ὑγρὰ καὶ δυσκαθέλκυστος, καὶ ὑπὸ ὀλίγης δυσκρασίας ἀέρος ἀφανιζομένη. ὅτε δὲ φαίνεται καθαρά, δηλονότι ἐπὶ ἡ τυχοῦσα ὑπόκειται) δυσκρασία, ἀλλὰ πάντη καθαρὸς ἐστιν ὁ ἀήρ. τὸ δὲ, πάσης ὑπένερθεν ὁμίχλης, ἀντὶ τοῦ φάτνου κατωτέρω πάσης ὁμίχλης φησίν· ἡ γὰρ τῶν ἀέρων

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ρων δυσκρασία πολὺ τῦ ἀέρος κατωτέρω· ἀλλὰ πάσης ὁμίχλης κατωτέρω ἡ ἁλὸς γινομένης τῦ καρκίνε ἡ τ̃ Φάτνης. Καὶ φλόγες ἡσύχαι) Προείπομεν πίνα συμβαίνει τῷ λύχνῳ ἐν τῷ χειμῶνι. ἥσυχα οὖν φαίνων, δηλοῖ ὑδίαν. ὁ δὲ νοῦς, ἡ ζὰς τῶν λύχνων φλόγας ἡσυχίους, τουτέστι μὴ ἀπνεμοπόμπους ὔσας, μηδὲ κλυδούσας, σημεῖον ὑδίας ἴδη, ἡ ζὰς νυκτερινὰς γλαῦκας ἀπερράχως βοώσας· (ἐν γῦ τῷ χειμῶνι ἀθεεχομένας τῷ κρύϕ, ἴδοι τὶς ἂν κραυγαζούσας ἀζύκλως·) καὶ ζὰς κορώνας δὲ ἠρέμα ἡ ποικίλη τῇ φωνῇ χρωμένας· αἵτε γὰρ φλόγες ὑπ' ὀδενὸς ζαραττόμενα, κατὰ τ̃ ἴδιον φέρονται ῥεσμόν, πά τε ὄρνεα ἀπακλοῦνται ὑφ' ἡδονῆς τῦτο παίζϕ. τὸ δὲ, ἥσυχα ποικίλλουσα, τουτέστι ποικίλλουσα τῷ φωνῷ αὐτῆς εἰς διαφορὰς φωνῶν, ἡ πολύφωνα κρώζουσα. ἀθεείπομεν δὲ, ὅτι ἡ οἱ κόρακες ἡ αἱ κορῶναι, ἀρχομένε χειμῶνος δύϕραινόμενοι φαίνονται. λοιπὸν δὲ ἀθροίζονται ἡ ἐπίτασιν ἀθ κρύος ἔχοντος, ἀκέπι χαίρουσιν, ἀλλ' ἀερχομένε ῥέος πάλιν ἐφάνησαν ἡδόμενοι· ζὰς γὰρ τ̃ καιρῶν ὑπερβολὰς ἀ φέρουσι. φασὶ δὲ ὅταν ἡ κορώνη τῇ φωνῇ ποικίλη ᾖ ἥσυχα κρώζῃ ἡ μὴ τραχέα, δηλοῖ ὑφ' ἡδονῆς ὑδίαν. Καὶ κόρακες μῦνοι) Τῷ αἰτίαν αὐτὸς εἶπε· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ, ἡ αἱ κινήσας ἀθαρησησάντων τῇ καθαρότητι ἀθ ἀέρος. ἀθῶτον δὲ ἰδίᾳ βοῶσιν, ἀλλήλοις ἀθσημαίνοντες· εἶτα πισεύσαντες ἅμα ᾳ γεηθότες διίπτανται). ὁ δὲ νῦς, ᾳ οἱ κόρακες ἐπισκῶς φθεγξόμενοι, ἡ ἐπαναδιπλᾶντες τῷ φωνῷ, ἔπειτα λαμπροτέρᾳ τῇ φωνῇ χρώμενοι, ἡ ἀθὶ τῷ τῦ ὕπνου ὥραν συνουσιαζόμενοι, καὶ μᾶ μεγεθεστέρας φωνῆς ἐπὶ τῷ ἀνάπαυσιν χορδιῦντες, παραπλήσιοι ἡδομένοις ἐπὶ τῷ δύθιννῷ κατασήματι, καὶ ἐν τῇ ἐρεπτόρσῃ τῇ φωνῇ τερπόμενοι· ἐν δὲ τῷ ὀρθριννῷ καιρῷ, πολλοὶ μὲ ἐπὶ τῷ φλοιῷ τ̃ δένδρων, πολλοὶ δὲ ἐπὶ τοῖς ἀκρέμοσι παρῆκται ζὰ πτερά, ἡ ἥσυχα ἀμφελοιῦντες, δύδιαν σημαίνουσι. τὸ δὲ, πλειότεροι ὀ ἀγεληδόν, ἦσαν πλειοτέρας φωνῆς ἐχόμενοι, τουτέστιν ἔμπλεοι ᾠδόμενοι, ἀγεληδὸν ὄντες, ἐπειδὰν τ̃ κρίτου φρονπίδα ποιήσωσι. ζ δὲ, χαίρειν κέ τις ὠΐσοιτο, ὡς ἐπὶ τ̃ φθέγματος δηλαδὴ, χαίρειν ἂν τις ὑπολάβοι αὐτὸς, ὅπως κρώζουσιν ἥσυχα ἡ ἀνεμώνα· τ̃ζ γάρ ἐσι τὸ, λιγαινομένοισιν ὁμῆα. τὸ δὲ, πολλὰ δενδρείοιο, ἀντὶ τ̃ πολλοί, καὶ ὅταν ἐν τῷ δένδρῳ, εἰς ὃ αὐλίζον), ἀθὶ τ̃ φλοιῦ, καὶ τ̃ τέλεχον καθεδέντες, κρώζωσι, ἡ μέλη ἄλλα λέγωσιν, δύδιαν σημειούμενοι. τὸ δὲ, ἦχι τε κείωσι, ἦσαν ἐν ᾧ αὐλίζονται, ζ καθέζονται· ἐὰν γὰρ ἀπ' αὐτ̃ αἰρόμενοι καὶ πεσόντες, πάλιν ἐπ' αὐζ ὑποσραφεῖεν, δύθιννον τὸ ἀθὶ τ̃ ἀέρα καθάρσημα γίνωσκε· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ, καὶ κινήσας ἀθαρησησάντων τῇ καθαρότητι τῦ ἀέρος. δηλῶσαι οὖν βούλομαι· τὸ δένδρον, ἔφη, ὅπου τε κείωσι. τινὲς οὖν τὸ, ἦχι τε κείουσιν, εἰς δύο μέρη μὴ διαιροῦντες, ζ τε κείωσι ῥῆμά φασι ἀπὸ τ̃ τεκείω, ἵν' ᾖ, ὅπερ γίνωσι· κρεῖτον δὲ λέγειν ἦχι τε κείουσιν, ἦσαν ὅπερ κτιμῶντα, ἀπὸ τ̃ κείω, τ̃ τε σωμβέσμε ὄντος, ἵν' ᾖ, ὅπερ καὶ τὴν κρίτιν ἔχωσι, καὶ ὅπερ αὐλίζονται, καὶ τῆς πλήσεως παύονται· τὸ γὰρ ἀπλερύον), οἱονεὶ ζὰ πτερὰ χαλῶσιν, ἢ διασείωσι πὰς πλέρυγας ὑποτρέψαντες· διακινοῦσι γὰρ πὰς πλέρυγας ἔτι ὑφ' ἡδονῆς τῷ κρίτῳ καταλαβόν-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

πες, ἢ τὴν ὑπὸ τῷ ἀέρῳ ἰκμάδα διαπυάσοντες. καὶ παρ' Ἀρχιλόχῳ, ὑφ' ἡδονῆς σαλευομένη κηρώνη. ὁ δὲ ὑπότροποι, ἀντὶ τοῦ τραπέντες ἀπὸ τοῦ νομοῦ πάλιν ὡς ἐπὶ τὴν κρίτην.

(λώης

Καὶ δ' ἄν που γέρανοι, μαλακῆς ὑποπρόθε γα-
Ἀσφαλέως τετμύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαν·
Οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο.
Ἦμος δ' ἠρχόμενον καθαρὸν φάος ἀμβλώσκῃ,
Οὐδέ ποθεν νεφέλαι πεπιεσμέναι ὤπασσιν,
Οὐδέ ποθεν ζόφος ἄλλος ὑποτρέχῃ, οὐδὲ σελήνη·
Ἀλλά τ' ὀξαπίνης αὖτως ἀμβλωπὰ φέρωνται,
Μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω.
Ἀλλ' ἐπὶ χεῖμα δόκευε καὶ ὑστόπτε, ταὶ μὲ ἑῶσιν
Αὐτῇ ἐν χώρῃ νεφέλαι· ταὶ δ' ἄλλαι ἐπ' αὐταῖς,
Ταὶ μὲν ἀμειβόμεναι, ταὶ δ' ὀξύπιθεν φορέονται·
Καὶ χεῖρες κλαγγηδὸν ἐπειγόμεναι βρομέοιο.

ἀστερόθεν

Καὶ δ' ἄν που γέρανοι) Καὶ γέρανοι σωληθροισμένας, ὅταν μακρὰν πῆσιν ἀνύσωσι, μὴ εἰς ὄψιν ὑποσραφῶσιν, δύδιαν δηλοῦσι· προγινώσκουσι γὰρ πολλῶν ἡμερῶν δύδιαν γλυκασμόν, διαίροντες εἰς ὕψος, καὶ ἐπιπαρρόυσι τῷ διασήματι τῆς πλήσεως· αἱ γὰρ γέρανοι πρὸς τὰ καιρῶν ὑπερβολὰς ἐ φέρουσιν, ἀλλὰ χειμῶνος μὲν ἀπὸ Θρᾴκης, ὡς ἐπὶ τὰ νοτιώτερα φεύγουσι, καὶ εἰς τὴν Αἴγυπτον διατρίβουσι. πάλιν δὲ, ὅτε χειμών, τὰ αὐτὰν ἀνύουσι δρόμον. καὶ ἐὰν πετομένων αὐτῶν πνεύματα ποιητικὰ ἐμπέσῃ χειμῶνος, ἐκεῖσε αἱ πᾶσαι τὰ αὐτὰν ἀνύουσι δρόμον, ἀλλὰ φεύγουσι τὰ πνεύματα ἐξ ὑποσροφῆς, ἀβλαβῶς ποιοῦσαι τὰς πλήσεις μὴ κλαγγῆς καὶ ψόφου, δεδιυῖαι τὰ χειμῶνα. βοῶσι δὲ πάλιν ὡς ἡδόμεναι, ὅταν εἰς τὰ θερμὰ τῶν τόπων ἐν χειμῶνι γένωνται· φησὶ γοῦν καὶ ὅτε τὰ αὐτὰν ἀνύουσι δρόμον, δύδιαν δηλοῦσιν· ἐπάγει γοῦν, Οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο. καὶ Ὅμηρος, Κλαγγῇ τάγε πέτονται ἐπ' ὠκεανοῖο ῥοάων. καὶ Ἡσίοδος, Φράζεο δ' αὖ τε ἐὰν γεράνων φωνῆς ἐπακούσῃς, Ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης, Ἥτ' ἀροτοῖό τε σῆμα φέρει, καὶ χείματος ὥρην

Δει-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Δεικνύῃ ὀμβρινοῦ. ἐν δυδίᾳ ἤν καὶ παλιρρόθοι ἐ ἀπάλως φέρωσιν, ἀλλὰ λεῖόν τινα καὶ τ αὐτὸν ἀποτελοῦσι δρόμον· ἢ ὅτι, πυδύματος μὲ σκληροῦ ὄντος, ἀφ᾽ τῶ πύκνωσιν τῦ ἀέρος, παλινδρομοῦσιν αἱ γέφυροι· ἐν δὲ ἀκύμονι καὶ κεχυμένῳ καὶ λείῳ ἐ ἀπλώτῳ, δύδρομοῦσιν. Ημος δ᾽ ἀστερόφιν) Μεταβέβηκε πάλιν ἐπὶ τὰ τοῦ χιμῶνος σημεῖα, καθ᾽ φησιν, ὅταν ἴδῃς ἐν καθαρῷ ἀέρι αἰφνιδίως ἀμβλυνομένους ἀστέρας, μήτε νέφους, μήτε ἄλλης τινὸς ἀχλύος ἐπισκιαζούσης, μήτε σελήνης ἐπιφερομένης, χιμῶνα προσδόκα. δηλοῖ δὲ, ὅτι ἡμῖν ἀνεπαΐσθητος ὁ ἀὴρ παχυμερὴς γινόμενος, τῷ ποιεῖ. γίνε) δὲ τοῦτο, αὐχμοῦ ἐπιφερομένου τοῖς ἄστροις, ἐ τὸ λαμπρὸν αὐτῶν ἀμβλυνόντος. τὸ οὖν, ἀδὲ σελήνη, προστέθηκεν, ἐπειδὴ ἡ σελήνη σκέπει τῷ ἰδίῳ φωτὶ ἐ ἀμαυροῖ τὰς ἀστέρας. εἰ οὖν ἄνευ τούτων ἐξαίφνης σκοτεινὰ τὰ ἄστρα φαίνῃ, χιμὼν ἔσῃ. Καὶ ὁπότε, τῇ μὲ ἐῶσιν) Ωσαύτως καὶ ὅταν τ νεφελῶν αἱ μὲ ὑψηλότεραι ἐν τῷ αὐτῷ τόπῳ μένωσιν ἀκίνητοι· αἱ δὲ ὑπ᾽ αὐτῶν ὑπερπίπτουσαι· αἱ μὲ προσπηγνύμεναι· αἱ δὲ καταλαμβάνουσαι· ὡσαύτως χιμῶνος σημεῖον, ὅταν ἔν τινι τόπῳ τ νεφελῶν, αἱ μὲ ἐν τῷ αὐτῷ τόπῳ μένωσιν ἀκίνητοι, ἄλλαι δὲ ἀπ᾽ αὐτῆς ἐκείνης τ χώρας καὶ τοῦ τόπου ἐκείνου ἐξέλθωσιν, αἱ μὲ ἐπὶ ἰσαμβρίας παρατεχουσαι, ἄλλαι δ᾽ ὁπισθεν ἐρχόμεναι. Καὶ χλῶες) Τὰς χῆνας, καὶ τὰ λοιπὰ ἐφεξῆς, ἃ καταλέγει ὄρνεα, παραχωρῶς ἐ μὴ πολλῆς κινούμενα κραυγῆς, σύμβολά φησι γίνεσθαι χιμῶνος· τῆς γὰρ τοῦ ἀέρος ἀκρασίας αἰσθανόμενα, ἃ φυλάττουσι τὴν προτέραν οἰκησιμίαν. ἐ δὲ ἐπειγόμενοι, ἀντὶ τοῦ ἐξίασιν εἰς νομὴν, μὴ φωνῆς πλείονος ἐ εἰωθότος βοσκόμενοι, ἀφ᾽ τὸ μηκέτι δύνασθαι εὐχερῶς ἐξελθεῖν ἐ βοσκηθῆναι ἐκ τοῦ χειμῶνος τὰ χρειώδη.

Χιμῶνος μέγα σῆμα καὶ ἐννεάγηρυ κορώνη
Νύκτερον ἀείδουσα, καὶ ὑψόθι βοῶντες κολοιοί,
Καὶ πολιὸς ἠῶ ἀπίζων, καὶ ὄρνεα πολλὰ
Ἐκ πελάγους φοιτῶντα, καὶ ὀρχίλος, ἠ καὶ ἐρωδιός
Δηρὸν ἐς κοίλας ὀχθας, καὶ φῦλα κολοιῶν
Ἐκ νομοῦ ἐρχόμενα τ᾽ἀφέρδου, ὅτε μοῦνον αὖλιν.
Οὐδ᾽ κε θηήσαιο μεγάλου χιμῶνος ἐόντος
Πρόσθεν ποιήσαντο νομὸν κηρόθι μέλισσαι,
Ἀλλ᾽ αὐτῦ μέλιτός τε καὶ ἔργων ἐπήλυθον.
Οὐδ᾽ ὑφοῦ γεράνων μακραὶ σίχες αὐτὰ κέλονται

Τείνου-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Τείνον᾽)· τροφάδες᾽ παλιμπετὲς ἀπονέον᾽).
Μηδ᾽ ὅτε νιφετμὴ ἀναφάγια λεπτὰ φέρῃ᾽),
Καὶ φλόγες αὐθύσσωσι μυκαμηθμοῖο λύχνοιο,
Ἢ πυρὸς ἢ᾽) ἀσβόλης, ἢ ὑπόδια λύχνα,
Πιτυόφι χθονί.

Καὶ ἐννεάζηρα κορώνη) Ἐννέα γὰρ χρυσοῦ ἔτη ζῇ ἡ κορώνη. ἢ τὸ ἐννέα, ἀντὶ τοῦ πολλὰ ποιητικῶς λεπτέον· ἤγουν ἡ πελύζηρα κορώνη, ὀξέα κράζουσι νυκτός, χθονός ἐστι δηλωτική. Καὶ ὀψὲ βοῶντες) Καὶ σφᾶς τὴν ἑσπέραν βοῶντες οἱ κηλοῖοι, σημεῖόν εἰσι χθονὸς, ὅταν δηλαδὴ ἑσπερίζοντος τοῦ κηροῦ κρίτης χρήζωσι· βοῶσι γὰρ χάριν τῶν αὐτῶν κρίτης· ὡς γὰρ εἴπομεν, σφᾶς τοῦ χθονὸς ἔρχονται αὐτοῖς. τῷ δὲ βοῶντες, δυϊκῷ ἀριθμῷ ἐχρήσατο ἀντὶ πληθυντικοῦ· τοῦτο γὰρ ἔθος αὐτῷ, ὃ καὶ Ὅμηρος οἶδε. Καὶ πτίνος) Εἶδος ὀρνέου καὶ ὁ πτίνος. τὸ δὲ, ἢν πτίζων, ἤγουν ὁ πτίνος ἀπὸ ὄρθρου φθεγγόμενος. Ὀρνεα πάντα) Καὶ πάντα τὰ ὄρνεα, φησὶν, ἐκφεύγοντα τὸ πέλαγος διὰ τὴν ψύξιν, σημεῖόν εἰσι χειμῶνος. Καὶ ὀρχίλος, ἢ καὶ ἐλιθεύς) Καὶ ταῦτα εἴδη εἰσὶν ὀρνέων. δῆλον δὲ ὅτι εἰς φωλεὰς καταδύομεν, τὰ ἐπίονα σφᾶς δεικνύουσι καὶ σφᾶς σημαίνουσι χθόνα. Καὶ φῦλα κηλοιῶν) Καὶ τὰ συνήμματα τῶν κηλοιῶν σφᾶς τὴν ἑσπέραν ἐπὶ κρίτην ἐρχόμενα ἀπὸ τῆς ἐν τῇ γῇ κατανομῆς, χθόνα δηλοῦσι. τραφερὸν δὲ, τῆς γῆς. ἐπιδὴ εἰς ἀρούρας βόσκονται), εἰ ἀποβαλλόμενα ἢ ἐκπίπτοντα τῶν καρπῶν διεπόμενοι. ἐπὶ ὄψιον δὲ αὖλιν, τὴν ἑσπερινὴν κρίτην. Οὐδ᾽ ἂν ἐπίξηθαι) Ἤγουν εἰ καταίσχυνε μέλισσαι. ὁ δὲ νῆς, μεγάλης χειμῶνος ὄντος, οὐδὲ αἱ ξηραὶ μέλισσαι ἐπὶ τὸ σφέτερον, ἤγουν ἐκ τῶν σύμβολων τὴν καταναμὴν ποιοῦνται, ἀλλ᾽ αὐτὲ κὴ ἐν αὐτῷ τῷ τόπῳ ἐλίσσονται καὶ ἀναστρέφονται)· ἢ ἐλίσσεσι τὰ δ᾽ μέλιτος καὶ τὰ ἔργων φροντίσματα. οἱ δὲ, ἔργων, τὰ γεωργικῶν ἀνθῶν· ἐν γὰρ τοῖς ἀγροῖς καὶ μόνον αὐτῶν εἰσιν αἱ ὁδοί. ἐξιοῦσαι δὲν τὰ σύμβλων, δύθεως ἔρχονται ἐπὶ τὰς ἀρούρας, καὶ πολησίον βόσκονται, μήποτε ἄφνω ἐπιγνύσαι χειμὼν, ἵνα ἐγγὺς ὦσι τὰ σύμβλων. ἢ ὅτι αἱ μέλιτται ἐγγὺς τὰ κυψελῶν ἀναστρεφόμεναι, καὶ μὴ πόρρω τὴν νομὴν ποιοῦσαι· (δυσριγώδατοι γάρ.) χθόνα σφᾶς δηλοῦσι καὶ σφαίνουσιν ἐσόμενον. Οὐδ᾽ ὑψοῦ γεράνων) Καὶ ταῦτα δὴ σημεῖα χειμῶνος· γέρανοι μὴ εὐδυποροῦσαι ἰσχάδημα, ἀρχὰς νιφετοῦ μεταικινήματα, φλοὸς ἀπὸ λύχνου μὴ καθαρᾶς, ἢ μόλις ἀπτόμενον πυρὸς πῆξις δὲ τέφρας, νιφετοῦ σημεῖον· ἢ καὶ σφᾶς τὰς μύξας τῶν λύχνων κέγχροις ὁμοίας φαινόμενας· καὶ γὰρ καὶ τοῦτο νιφετοῦ σημεῖον· χαλάζης δὲ, ἀμαυρὸν ἄνθρακος τὸ μέσον νεφελῶδες· φασὶν δὲν τοῖς γερανοῖς, ὄμβρων μελλόντων καταφέρειν, ἢ μετεώρους αἴρειν, ἀλλὰ ἢ τὰ δυθείας ἐμποδίζειν πλήσεος· αὐτὴ γὰρ ἡ γέρανος δυσπαθὲς ἔχει τὸ σῶμα, ἢ σφᾶς τοῖς τὰ ὡρῶν ὑπερβολὰς ἀντέχειν ἢ δύναται). ὁ δὲ νῆς, αἱ δὲ τὰ γερανῶν μακραὶ πτέρυγες τοῖς αὐτοῖς ὁδοὺς τείνουσι ἢ· (τοῦτο γὰρ ἦν δύ-

δίας

δίας σύμβολον.) ἀλλὰ ἀποσβαφεῖσαν τὸ ὑγρὸν πνεῦμα, καὶ ἐξ ὑποστροφῆς πορδούμενον, τὸ αὐτὸ σημεῖόν εἰσι. καὶ γέφυροι οὖν μὴ διαῤῥῆγμα εἰς ὕψος, μηδ' ἐπ' εὐθείας ποιούμενον τοῖς πλοῦσιν, ἀλλ' ὑποῤῥέφουσιν εἰς τοὺς τόπους, ὅθεν ἐκινήθησαν, τὸ αὐτὸ σημεῖόν εἰσι. Μηδ' ὅτε νιφετώδης.) Καὶ ὅταν τὰ ἀῤῥήχια νιφετώδης ἔσῃ ἐν τῷ ἀέρι πολλάζοντα· ὡσαύτως καὶ ὅταν ἀμαυρὸν ᾖ τὸ πρὸς τοὺς λύχνους φέγγος, καὶ μὴ εἰς ὕψος ἀνάπλητον, ἀλλὰ πρὸς ῥέφη), ὄμβριον γνόμενον τοῖς ἐπὶ τῶν θερμοτέρων ἀτμῶν πεπυκνωμένοις λύχνοις, τὸ αὐτὸ σημεῖον. Τὸ πῦρ ὑπὸ τῆς ἀποδιᾶς ἀφανιζόμενον, καὶ ἄλλα δὲ πολλὰ σημεῖα γίνεται ἐπὶ τῆς χειμερινῆς καταστάσεως. Ἄλλως. Ἡ ἀῤῥήχνη λεπτή ἐστι καὶ ἰσχνή, καὶ σὺν μετεώρῳ ἐστί· καὶ ἐπιμὴν ἀνεπαγθήτου ὄντος τοῦ πνεύματος, αὔτη καὶ σὺν βραχείας κινήσεως φέρεται καὶ κινεῖται. ὁ δὲ λόγος, σὺν νιφετώδει δέ, ὅτε ἡ ἀῤῥήχνη κινεῖται, μὴ καταφθάνει τὰ σημεῖα· εἰ γὰρ καὶ αὐτίκα νιφετώδης ἐστὶν, ἀλλ' οὖν γε πρόδηλοί τ' ἐσόμενον χειμῶνα. Καὶ φλόγες αἰθύσσωσι.) Λύχνων φλόγες ἠρέμα πρὸς ἀναφερόμενον, πῦρ τε μόγις ἀναπτόμενον, καὶ τὰ ἐλλύχνια φῶτα, χειμῶνος σημεῖον· συμπίπτει γὰρ τοῖς ὑποκείμενα ὑπὸ τοῦ ἀέρος. Ἡ πῦρ αὐτῇ.) Ἀπὸ κοινοῦ τὸ, μηδὲ ὅτε πίσευε τῷ χειμῶνι, ὅταν πῦρ ἐφάπλητον μὴ καθαπαθείας ὁ βραδέως, καὶ αἱ ὑπαίθριαι λύχναι· δῆλον γὰρ ὅτι πολλοῦ ὄντος καὶ περιέχοντος ὑγροῦ, βραδίως τὸ πῦρ ἐφάπλεται καὶ τὰ λύχνα. αὔητον οὖν, ἀντὶ τοῦ ἐφάπλητον, Πλάτωνος δέ φησι, τὰ καυστὰ βραδέως ἐξάπλοα, παχυμερῆς τὰς πόρας ἐπιφράττοντος ἀέρος· διόπερ οἱ τὰς δᾷδας ἄπτοντες, περιστρίβουσιν ἐν τῇ τέφρᾳ, ἵνα λεπτυνθῇ εἰ τι ἔνικμον ᾖ, καὶ τὸ πῦρ τῆς ὕλης μᾶλλον ἅψηται.

-τί τοι λέγω ὅσσα πέλονται)

Σήματ' ἐπ' ἀνθρώποις; δὴ γὰρ καὶ ἀφραδέεσσι
Αὐτοσχεδὸν νίφετοῦ ἐπικρατέως·
Καὶ λύχνῳ χύσις, κέγχροες θ' εἱκόσια πάντη
Κύκλῳ σήματ' ἔχει πυρὸς ἀμπνοιὴ ἐπιθύει μύξα·
Αἰθρηγενὶ ζώνῃ χαλάζης, ὅτε πότε λαμπρὸς
Αὐτὸς ἐείδηται· μέσσῳ δέ οἱ ἠΰτε λεπτὴ
Φαίνηται νεφέλη, πυρὸς ἔνδοθεν αἰθομένοιο.

Τί τοι λέγω) Τί σοι καταλέγω, ὅσα σημεῖα γίνεται ἐπ' ἀνθρώποις χρησίμως καὶ εὐθείας· καὶ γὰρ ἐν τῇ ἁπάντων ἀσφαλεστάτῃ τέφρᾳ, περὶ ἐκεῖνον τὸν τόπον ἔνθα ἐστὶ πεγνυμένη, χειμῶνα ἔσαι· πολλοῦ γὰρ περὶ τὸ ἀέρωδες τοιοῦτο σημεῖον. ἡ τέφρα δὲν μὴ διαλυομένη καὶ ὡσαύτως πεπηγυῖα, σημαντικὴ χειμῶνος· καὶ κέγχροι πολλαὶ ἐπὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

τῆ λύχνου φωτὸς ἐπανισάμενον, νιφετὸν σημαίνουσιν. ὅταν δὲ τῆ διαπύρου ἀνθρακος ἡ μὲ ἐπιφάνεια λαμπρὰ τυγχάνῃ, ἡ δὲ μεσότης μελαίνηται, χάλαζαν ἐσομένην δεῖ σημήνασθαι. Καὶ λύχνῳ χιόνος) Καὶ ἐπὶ τῷ λύχνῳ χιόνος γίνωσκε σημεῖον, ἐὰν κέγχροις ἐοικότα σημεῖα πανταχοῦ καὶ κύκλῳ ἔχῃ, ἐγγὺς τὸ πυρελαμπὲς μύξης. ἐὰν δὲ περὶ τὰς μύξας κέγχροις ὅμοια σημεῖα γένηται, τοῦτο σημεῖον ὑγροῦ χειμῶνος. Ἀνθρακι δὲ ζώντι) Ἡγεῖται ἀνθρακωμένῳ καίοντι. ἐὰν δὲ ζῶντος ἄνθρακος, ἤγουν καομένης, καὶ ἐπὶ τῆς αὐτῆς φλογὸς μεταξὺ ὥστε νεφέλη τις γένηται, χαλάζης τὸ τοιοῦτον σημεῖον. λευκὴν δὲ δεῖ φαντάζεσθαι τὴν ἄνθρακα, διὰ τὴν πεπηγυῖαν τέφραν. καὶ εἰκότως τὸ τοιοῦτον σημεῖον χειμῶνος· ἡ γὰρ τοιαύτη ἕξις τοιαύτη ἐστὶν, ὡς καὶ μέχρι τοῦ πυρὸς διήκειν.

Πεῖνοι δ' ὑ καρποῖο καταῤῥᾶες, οὐδὲ μέλαιναι
Σχῖνοι ἀπείρητοι· τῶ δύτη δέ τε πολλὸς ἀλωὴς
Αἰεὶ παπταίνῃ, μή οἱ θέρος ὀκ χεερὸς ἔρρῃ·
Πεῖνοι δ' ἁμυνῆς ἀκύλου κ' μέζον ἐέργουσαι,
Χειμῶνός κε λέγοιεν, ἐπὶ πλέον ἰαύοντος.
Μηδὲ ἄλλω ἔκπαγλα τεοῖς βείοιεν ἀπάντη,
Τηλοτέρω δ' αὐχμοῖο σεσαρχύοιεν ἄρουραι.

Πεῖνοι δ' ὑ καρποῖο) Ἀρχεται λοιπὸν ἀπὸ δένδρων τεκμήρια ἡμῖν διδόναι τοῖς χειμώνων καιροῖς, ἐπιτήδεια τοῖς γεωργοῦσιν. δεῖ δὲ λαβεῖν ἀπὸ πτίνης καὶ σχίνου σημεῖα· ὁ γὰρ τῆς πτίνης καρπὸς σύμμετρος ὢν, δισσὸν χειμῶνα δηλοῖ· ὁ δὲ πλείων τε σωθεὶς, πλείονα αὐχμόν· μεταβὰς δὲ ἐπὶ τὰ τῆς γεωργίας σημεῖα, πειρᾶται διδάσκειν ἡμᾶς, καθ' ἣν φησιν, ὅτι πτῖνοι καὶ σχῖνοι μετρίαν τὴν καρποφορίαν ὅταν ἔχωσιν, αὐχμηρὸν τὸ τέλος σημαίνουσιν. αἱ μὲν δὴ πτῖνοι μὴ ὑπὲρ τὸ δέον σύμπορεῖσαι, μακρὸν ἐσόμενον τὸν χειμῶνα σημαίνουσιν· ἐὰν δὲ πολυφορῶσι καὶ τὰ ἕκαστα μέρη τε θέρος, πολύδενδρος τε σύμπας καρπὸς γενησόμενος ὑπὸ αὐχμοῦ. ἡ δὲ τῆς σχίνης καρποφορία τρισὶ τυγχάνει· τρεῖς γὰρ εἰσι τοῦ σύμπαντος ἀνθεῖ, καὶ τρεῖς τελεσφορεῖ· ἑκάστη γὰρ καρποφορία ἴδιον σημεῖον ποιεῖ· ἐὰν γὰρ ὁ πρῶτος καρπὸς καὶ πέπων γένηται, πρώϊμον δεῖ θέρος προσδοκᾶν· ἐὰν δὲ ὁ δεύτερος, καταμέσον καμοῦντος θερείας κρεῖσσονα σημαίνει· ὁ δὲ τρίτος, τὸ ἔσχατον. ἡ δὲ σύνταξις, ὅτως, καὶ διαχθέντες καρποῖο, ζυτέσι βαρυνόμενα τῷ καρπῷ, ὀκ ἀπείρητοί εἰσι χειμῶνος· ὅσα γὰρ τῶν σχίνων ὀκ τοῦ ἀέρος ὠφελεῖ, ταῦτα καὶ τὸ σῖτον· ὁμοίως καὶ τὰ βλάπτονται. δείγματος οὖν τῶν πρώτων ὡρῶν ὁ πρῶτος ἐν τῇ σχίνῳ ἐστὶ, καὶ τὸ μέσον ὁ μέσος, καὶ ὁ τρίτος τὸ τελευταῖον. ὅτω Πλάτωνος.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

χ. Πολλὸς ἀλωδὺς) Ὁ σπουδαῖος γεωργὸς καὶ ὁ ἀροτριοδὺς ἀφορᾷ ἐπὶ τὰ σημεῖα τῆς γεωργίας. ὁ δὲ, μή οἱ θέρος ἐν χερσὶ ἔρρῃ, ἀντὶ τοῦ, ῥύσῃ, φθαρῇ. ὁ δὲ σῖτος ὅταν ἀρχὴν ἔχῃ τοῦ ἀναφύεσθαι, ὕστερον ὑποβολὴν χθονὸς δύναται βαστάζειν, ὅτε αὐχμοῦ συμπεσόντος ἐν ἕαρι γὰρ φυόμενος, τοῦτο δοκεῖ ἀπαλλάττεσθαι. ἀλλ' ἐπειδὰν ἐμπέσῃ, ἀπόλλυται. φησὶν οὖν ὅτι καὶ πτῖνοι ἀ μεσηῒ καρποῦ ἔσῃ, καὶ μέλαιναι χῆνοι οὐκ ἀπείρηνοί εἰσι χειμῶνος. δύναιτο οὖν ἂν τῆς τῶν καρπῶν αὐτῶν ἀναφύσεως συμβάλλειν καὶ χθονὸς καμπάς. λέγει οὖν, ὁ μὲν τῆς πτίνης καρπὸς σύμμετρος ὤν, χθονὸς δηλοῖ· ὁ δὲ τολεῖων τοῦ σωληνοῦς, αὐχμόν. Πελειοι μὲν θαμινῆς) Ὁ πτῖνος τὸ δένδρον τῶν πάνυ καπνιζήρων ἐστί. καὶ μαρτυρεῖ καὶ Αἰσχοφάνης λέγων, Σὺ δ' ὥσπερ πτῖνος δρυὸς ἐμπεπηγυῖα, βοᾷς· τῶν ξύλων γὰρ τὰ καπνίζηρα ἐμπεπηγότα καὶ καυθέντα, τῇ ξηρότητι ἀντέχει τῷ πυρί· αὕτη τοίνυν ἡ πτῖνος ξηρά πως οὖσα τὴν φύσιν, τοῖς ὑγραίνουσι τέρπεται· καὶ χειμῶνος ὄντος, σφόδρα ὑγροῦ τοῦ περιέχοντος γινομένου, τῇ ὑγρότητι ἡδομένη καρποφορεῖ, καὶ δηλοῖ τὴν ἐσόμενον μέγαν χειμῶνα. ὑφ' ἧς τὴν ὑγρασίας μεταλαβοῦσα ἐκαρποφόρησε. θαμινῆς δὲ, τῆς συνεχῶς φυομένης· τρίτην γὰρ τοῦ χειμῶνος φύεται. ὁ δὲ ἄκυλος, καρπός ἐστι τῆς πτίνου. καὶ Ὅμηρος Πάρ' ἄκυλον, βάλανόν τε. καὶ μέτρον δὲ ἔχουσι, ἀντὶ τοῦ, συμμέτρως ἔχουσι τῶν καρπῶν. φησὶν οὖν καὶ Θεόφραστος, ὅτι ἡ πτῖνος καὶ ἡ χῆνος, αὐχμηρᾷ τῇ κράσει καὶ ξηροτέρᾳ τῶν ἄλλων πεφύκασι. πολλοῦ οὖν καρπὸν ἀ φέρει, ἐὰν μὴ εἰς βάθος ὑραυθῇ. εἰκότως ἐν τῇ τούτων ἀφορίᾳ, καπνιμαντεύονται περὶ τῶν σπερμάτων, μιᾶς αἰτίας ἔσης, δι' ἧς ἀμφοτέρων ἡ πολυκαρπία ἐπέρχεται. εἰ δὲ ὑπερβάλλει τοῦ καρποῦ τὸ τολῆθος, οὐκ ἀγαθὸν σημεῖον. ἄμετρον γὰρ ἐπομβρίαν καὶ τολεοναομὸν ὑγρότητος, ἡ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. ὅτω ὁ Πλούταρχος. Μηδὲ ἄδλω ἔκπαλα) Μηδὲ λίαν κορεσικῶς καὶ ἐξόχως βαρυνθεῖεν τῷ καρπῷ παντελῶς, ἤγουν μὴ λίαν ἔχοιεν καρπὸν, ἀλλὰ σύμμετρον· ὅτι γὰρ ἐν τοῖς αὐχμοῖς αἱ ἄρεραι θάλασσαί εἰσι· τὸ οὖν τηλοτέρω, ἀντὶ τοῦ πορρωτέρω ἔσῃ, αἱ ἄρεραι δὲ αὐχμοῖ τωληθύουσι τοῖς ἀσθμοῖς.

Τειπλόα δὲ χῆνος κυέει· τειαταὶ δέ τε αὖξαι
Γίνον) καρποιο· φέρει δέ τε σπορὴ ἑκάστη
Ἐξείης ἀέστῳ. καὶ γὰρ τ' ἀροτήσιον ὥρῃσιν
Τειπλόα μείρον), μέσσην, καὶ ἐσ' ἀμφότερ' ἄκρα,
Πρῶτος μὲν θέρεος ἀρόσιν, μέσσος δέ τε μέσσην
Καρπὸς ἀπαλγέλλῃ, πυμάτην γε μὴν ἔσχατος ἀλ-
Οτινα γὰρ καλλίστα λοχᾶται χῆνος ἀρήν), (λων.

Κεινῳ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Κείνῳ γ' ὀξ ἄλλων ἄροσις πολυλήϊος εἴη·
Τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσῳ δέ τε μέση.
Οὕτως δ' ἀνθήεντος τειχὰ σκύλλης ὑπερθῇ,
Σήματ' ἐπιφράσασθαι ὁμοῖον ἀμήτοιο.
Ὅσσα δ' ἐπὶ ῥῖνον ἀρότηρ ἐπιφράσατο καρῳ̃,
Τόσσα κὴ ἐν σκύλλης τεκμήρεται ἀνθεῖ λευκῷ.

Τελωλόα δὲ ῥῖνος κυέει) Τέλτον φησὶ φέρειν τὸν ῥῖνον καρπόν. ἔκαιον δὲ τούτων σημεῖον εἶναι ἀπόρου· κὴ γάρ φησι, τὰς ἀπόρους τρεῖς εἶναι, πρῶτον, δεύτερον, ὕστατον. ὃν ἂν οὖν καρπὸν εὐφορήσῃ μάλιστα ἡ ῥῖνος, κατὰ λόγον κὴ τὸ ἀπόρου ἐκεῖνον γίνεσθαι ἄριστον. τὸ δὲ, λοχαίη ῥῖνος, βαθεῖα κὴ ὑψηλὴ, ἀπὸ τῶν λοχῶσαι δύναται κὴ συνεδρεῦσαι ἐν αὐτῇ κρυπτόμενον· ἔτος Ἀπολλιναίριον. τὸ δὲ ἄρηται, ἀντὶ τοῦ συνέχηται. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ κρὴ ἡ ἄροσις πολὺ κρείττων ἔσαι· ἐν γὰρ μόνον τοῖς ζῴοις συμπάσχειν γίνεται, ἀλλὰ κρὴ ἐν τοῖς φυτοῖς· ὅταν οὖν κεκραμμένῳ τῇ ὑγρότητι κὴ ψυχρότητι παραπλησίως ἔχῃ τὸν ἀέρα, κρὴ τρεφέται ἀπὸ τοῦ ὁμοίων, καὶ τοῖς αὐτοῖς εὐθαλεῖ κὴ μαραίνεται. διὸ πολλὰ μετ' ἀλλήλων συναυξάνει κὴ καρποφορεῖ, τὰ μὲν φέρει, τὰ δὲ χθαμαῖ, τὰ δὲ κὴ ἔαρι. τὸ μὲν οὖν αἰκράσης διάφορον, τὸ δὲ ὅμοια κὴ συγγενεῖς σφόδρα· τὸ οὖν μίαν κρᾶσιν ἐχόντων, εἰσὶ πρῖνος, ῥῖνος, σκύλλα, πυρός, κατὰ Πλάτωρχον. Οὕτως δ' ἀνθήεντος) Ἀνθέλινον νῦν εἴρηκε τὸ ἄνθος τῆς σκύλλης· κυρίως γὰρ τὸ ἄκρον τῶν ἀσταχύων. ἀκολούθως δέ, φησι, κὴ τῆς σκύλλης ἄνθος τεκμαίρεσθαι τὸ τῶν καρπῶν· τὸ μὲν γὰρ πρῶτον ἄνθος δηλοῖ τὸ πρώτου ἀπόρου διδάσκει ἡμᾶς, τὸ δὲ δεύτερον, δηλοῖ τὸ δευτέρου· καὶ τὸ τρίτον, δηλοῖ τὸ τρίτου.

Αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
Παίτην βεβρίθωσι, κὴ ἑσπερίων προπάροιθεν
Πληϊάδων, εἴποι τις ἐπερχόμενον χθαμᾶνα,
Οἷος ἐπὶ σφήκεσσιν ἐλαύνει) αὐτίκα δῖνος.
Θήλεαι ὗες, θήλεαι μῆλα, κὴ αἶγες,
Ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τὰ δέ γ' ἄρρενα πολλὰ
Δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέουσι),

Αὐτῷ

Αὐτῷ κ᾽ σφήκεσι μέγαν χάνα λέγειν.
Οἷός τ᾽ μισγομένων ἀγρῶν, μήλων τε, συῶν τε
Χαίρει ἄνολβος ἀνήρ, ὅ οἱ ἀ μάλα θαλπιόωντι
Εὔδιον φαίνοισι βιβαιόμενα ἑαυτόν.

Αὐτὰρ ὅτε σφῆκες) Οταν ἐν φθινοπωρινῇ ὥρᾳ, σφῆκες κατὰ πλῆθος συνηθροισμένοι, ἐν πολλοῖς τόποις βλέπωνται, ἐπὶ τὴν ἐσπερίαν τῶν πλειάδων ἀνατολήν, δεῖ προσδοκᾶν χειμῶνα· προσέρηται δὲ ὅτι ἡ ἑσπερίου πλειάδων ἀνατολὴ χειμῶνα ἐπιφέρει. ἐὰν ἓν ἑσπερίων προπάροιθεν, ἤτοι τὴν ἀπὸ ἑσπέρας ἀνατελλουσῶν· ἑῶαι γὰρ ἀνατέλλουσι θέρει. ὅτε δὲ εἰ καὶ μὴ πρὸ τῆς ἑσπερίων πλειάδων οἱ σφῆκες βλέπωνται συνηθροισμένοι, εἰσὶ τὶς ἂν ἔσεσθαι χειμῶνα. γίνονται δὲ σφῆκες ἐκ γῆς· σύφυτος γὰρ πρὸς ὃ γένναν τὰ τοιαῦτα ἡ γῆ, ὅταν ἰκμαδώδης ᾖ. Θήλεαι δὲ σύες) Η ὑγρότης γόνιμον καὶ κινητικὸν τῆς σπερματικῆς δυνάμεως· διαχεῖται γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα τῇ ἀνέσει, ἀραιὸν γίνεται, καὶ ὑποθερμαίνεις ὑγρὰς ἀγωγὰς ἐπὶ τὸ τῆς γεννήσεως ἔργον. διὸ καὶ οἱ παλαιοὶ τὸ Διόνυσον τῇ Δημήτρᾳ συγκαθίερωσαν, αἰνιττόμενοι τὸ γόνιμον τῆς ὑγρότητος. ὡς ὅταν δὲ καὶ φυτὰ ἐξαθενήσαντα διαπνεῖται τῇ εὐκρασίᾳ, ἐπελθόσης τῆς ὑγρᾶς καὶ ἐπιῤῥεούσης τροφῆς, ὅτω καὶ τὰ ζῶα ἐν ὑγρῷ τῷ ἀέρι καὶ μάλακῷ μᾶλλον πρὸς σωτηρίαν κινεῖται. καὶ ἂν θήλειαι σύες, καὶ πρόβατα, καὶ αἶγες, ὅταν ὑπομείναντα τὸν τῶν ἀῤῥένων ὄχον, ἐπιτρέψωσι ἐπιβαίνειν τοῖς ἄῤῥεσι, μέγαν χειμῶνα καὶ σὺν ἐλάσσονα ἢ ἀπὸ τῶν σφηκῶν σημαίνουσιν· ὅταν δὲ μὴ προλαμβάνῃ τὸ προειρημένον τῷ μίξιν, ἀλλὰ βράδιον ἢ εἰθισμένον ὀχεύῃ, εὐθυμίαν τοῖς πένησι παρέχονται, ὅτι μὴ ἔχοντες εὐπορεῖν ἐθημάτων, προσδοκῶσιν εὐδιεινότερον ἔσεσθαι τὸν χειμῶνα. ἢ ταῦτα καὶ ζῶα ἐπιθυμητικῶς ἔχοντα σωτηρίας ἐν χειμῶνι, ἐπειδὴ ἔξωθεν τότε ἢ ὑγρὸν ὄντα, καὶ θερμὸν ἔνδοθέν ἐστι, καὶ φλέγον αὐτὰ ἐγείρει πρὸς σωτηρίαν. διὸ καὶ ἑξῆς φησιν, ὅτι ἐὰν βραδέως καὶ ἀ συνεχῶς σωτηρίαζωσι, δηλοῦσιν ἀ ψυχρὸν τὸν χειμῶνα, ἀλλ᾽ εὔκρατον· ὅθεν καὶ τὰ πένητα χαίρειν ποιοῦσιν. ἢ ἐν τοῖς αὐχμηροῖς καὶ ἀνόμβροις ἔτεσι, τὰ ζῶα πρὸς σωτηρίαν ἀ πρόθυμα. διὰ γὰρ τὴν τῶν σωμάτων ὑγρότητα ὀλίγην ἔσαν, βραδύτερον τὸν θρᾶ· διὸ φησιν, ὀψὲ θρῶνται τὴν σωτηρίαν, εὐθυμίαν παρέχοντα τοῖς γεωργοῖς. ἡ γὰρ πλείων ἐπιθυμία ἐξ ὑγρότητος πλεοναζούσης γίνεται. χαίρει οὖν ὁ ἄνολβος ἀνὴρ, ἤγουν ὁ πένης ἐκ ἀνέμων, ὅτι ἀ πάνυ αὐτῷ θερμαινομένῳ ὑπὸ ἀμφίων, εὔδιον τὸν χειμῶνα ὑποφαίνουσι. τὸ δὲ βιβαιόμενα, ἀντὶ τοῦ διαζόμενα πρὸς σωτηρίαν.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Χαίρῃ καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεύς
Ὥριον ἐρχομένοις· ὁ δ' ἀώριος αὐτίκα μᾶλλον.
Αὗται γὰρ χειμῶνες ἐφ' ἡμετέροισι γεράνοις,
Πρωΐα μέν, καὶ μᾶλλον ὁμηγερέσιν ἐρχομένῃσι
Πρώϊον. αὐτὰρ ὅτ' ἐκ καὶ ἀγχιβαθὲς φύγωσαι,
Πλείστερον φορέωνται ὑπὸ χθόνα, δὴ ἅμα πολ-
Ἀμβολίην χειμῶνος ὀφέλλεται ὑστερα ἔργα. λαί,

Χαίρει) Καὶ ὅταν αἱ τῶν γεράνων ἀγέλαι ἐπὶ τοῖς εὐθυμένοις τόποις μεταίβασιν ποιῶνται, ὁ ἐπιθυμῶν γεωργὸς ἐν θέλει τοὺς καρποὺς ἀμᾶσθαι, φησὶν· ὅταν δὲ βραδύτερον διαίρωνται, ὁ βουλόμενος βραδύτερον ἀμᾶσθαι τὸν σπόρον γεωργὸς, φησὶν· ἀκόλουθος γὰρ χειμῶν γίνεται τῇ τῶν γεράνων διάρμασι· ὅταν μὲν γὰρ ποιῶνται τὴν μεταίβασιν, καὶ κατὰ μέσον καιρὸν συνήθη ποιοῦσι τὴν πλῆσιν, ποσίμων δηλοῦσι τὸ ἔτος· ὅταν δὲ τοῖς αὐτοῖς τόποις ἐμβραδύνωσι, καὶ ἀναχωροῦσαι βραδείαν τὴν πλῆσιν ποιῶνται, καὶ μὴ συνηθροισμένας φέρωνται, ὀψὲ χρησόμενον τὸν χειμῶνα σημαίνουσι, καὶ τὴν παρολκὴν τῶν γεωργικῶν χρησιμωτέραν ἔσαν τοῖς γεωργοῖς. Ὥριον ἐρχομένοις) Τοῖς καιρὸν ὥραν ἐρχομένοις γεράνοις, ὁ βουλόμενος καιρὸν ὥραν τὸν ἔργον ἄπτεσθαι γεωργὸς, χαίρει· ὁ βουλόμενος δὲ ὀψιέστερον σπείρειν, τοῖς ὀψιμωτέροις· ἔπεσθαι γὰρ αὐτῶν τῇ πλήσει πέφυκεν ὁ ὄμβρος· καὶ γὰρ αὖ) αὐτοπαράμπαν τὸν τῆς ἀέρος ψύξεως, ἐκ τῶν σωμήνων ἐπὶ τοὺς ἀηδῶς μετέχοντας τόπους. Πρώϊα μέν, καὶ μᾶλλον) Τοῖς μὲν θᾶττον καὶ κατὰ πλῆθος φαινομένοις, θᾶττον καὶ πλείων ὁ χειμὼν ἐπιφαίνεται· ὅταν δὲ ὀψὲ μὴ ἀγεληδὸν φανῶνται, ἀλλὰ καὶ κατ' ὀλίγον ἐκ διασημάτων, οὐδὲ ἅμα πολλαί, ἀναβολὴ χειμῶνος ὠφελεῖ τὰς ὑστέρας πορείας.

Εἰ δὲ βόες ἐκ μῆλα μετ' εἰθυδρόπα πωλῶ,
Γαῖαν ὀρύσσουσιν, κεφαλὰς δὲ ἀνέμοιο κορῆς
Αὐτίκα τινύσσιν, μάλα κεν τότε χείματος αὐταὶ
Πλειάδες χειμῶνα κατερχόμεναι φορέοιεν·
Μηδὲ λίαν ὀρύχοιεν, ἐπεὶ μέγας ἔκτυπος κόσμου
Γίνεται, ὅτε φυτοῖς χειμὼν φίλος, ὅτ' ἀρότοισιν.

Αλλα'

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αλλά χιὼν εἴη πολλὴ μεγάλας ἐπ' ἀρούρας,
Μήπω κεκριμένη μηδὲ ῥεούσῃ ἐπὶ ποίῃ,
Ὀφρα οἱ εὐετύῃ χαίρῃ πολιδόμενος αὐήρ·
Μηδ' εἶεν καθύπερθεν ἐοικότες ἀστέρες αἰεί,
Μήθ' εἷς, μήτε δύω, μηδὲ πλέονες κομόωντες·
Πολλοὶ γὰρ κομόωσιν ἐπ' αὐχμηρῷ σταφυλῷ.

Εἰ δὲ βόες κὴν μῆλα) Εἰ δὲ οἱ βόες κὴ τὰ μῆλα, ἤγουν τὰ τετράποδα ἐν τῇ παραχμῇ ἔ φθινοπώρου τὸν γλῶ τοῖς ποσὶν ὀρύσσουσι, τὰς δὲ κεφαλὰς πρὸς βορέαν ἀνατείνουσι, χιόνων γλυκύσης) μέγας κατὰ τὸν τῶν πλειάδων δύσιν· ἐὰν δὲ μᾶλλον ὀρύττωσι, μείζονα δεῖ τ χιόνα προσδέχεσθαι, ὃ ἀσύμφορον φυτοῖς τε κὴ σπορίμῳ καρπῷ· πολλὴν γὰρ ἐσομένην χιόνα σημαίνει. ὥστε συμβήσε) τ ἐν ταῖς χώραις πυρὸν τετυφερὸν ὄντα, κὴ μηδέπω ἐπὶ βάσιν τὸν νύξηκότα, ὥστε μὴ μαραίνεσθαι, ξηραινθῆναι ὑπὸ τῆς ψυχρότητος· εἰ γὰρ ἐπύχανεν ἰσχυρὸς, οὐκ ἂν ἐδεδοίκει τὸν ἐν τῇ χιόνι βλάβην. τότε οὖν κατ' ἐκεῖνον τ καιρὸν ἔσωσαν οἱ ἀστέρες τὸ καθ' φύσιν σώζοντες καθίσημα καὶ καιρὸν κὴ ἀνεπιθόλωτον· μηδὲ οἱ καλέμενοι κομῆται θεωρηθείησαν, ἢ εἷς, ἢ δύο, ἢ κὴ τρεῖς· φανέντες γὰρ ἔτοι, αὐχμηρὸν τὸ ἔαρ σημαίνουσιν. ἡ δὲ ὑπὸ τ ζώων ὀρυσσομένη γῆ χειμῶνα δηλοῖ, ἐπειδὴ μαντεύονται δεῖσθαι ψύξεως, διὰ τὴν θερμότητος, ἥτις διὰ τὸν ἔξωθεν πυκνότητα ἐγκλείεται τοῖς ζώοις. εἰ δὲ πλέον ὀρύττει τὸν γλῶ τὰ ζῶα, ὁ χειμὼν βλαβερώτερος κὴ φυτοῖς κὴ ἀρώτοις. σύχνον δὲ πλείονα χιόνα γενέσθαι· σημεῖον γὰρ καρποῦ, ἐπειδὴ ῥιζᾶ) τὰ σπέρματα μᾶλλον, ἐπερχόμενα τῆς ἐπὶ τὰ ἄνω αὐξήσεως· οἱ δὲ κομῆται ἀστέρες, αὐχμοῦ σημεῖον, ὑπερβάλλοντος τὸ θερμοῦ τὸ ψυχρόν. Πλειάδες χιόνα) Εἴρηται μὲν ἀνωτέρω, ὅτι κὴ φθινοπωρινὰ ἀνατέλλουσιν αἱ πλειάδες· αὗ) ἐν καπερχόμενα, χιόνα φέρουσιν. ἐὰν οὖν εἰς τ καιρὸν ὅτε δύνουσιν αἱ πλειάδες, αἱ αἶγες, κὴ τὰ μῆλα κεραΐζωσι τὸν γλῶ, χειμὼν γενήσε) μέγας. Αλλὰ χιὼν εἴη πολλὴ) Αλλὰ χιὼν ἔστω πολλή, φησιν, ἐν ταῖς μεγάλαις ἀρούραις, ἀφ' οὗ τὸν μήπω κριθεῖσαν, ὃ οἱονεὶ διάκρισιν κὴ ἰσχὺν λαβοῦσαν πόαν, ἀδὲ τὸν βαθεῖαν, ἀλλ' ἐπιπόλαιον ἔσαν· ἤγουν ἐὰν ἡ χιὼν πίπτῃ, χλιάνθω μὴ ἤδη εἰς πολὺ τῆς πόας νύξημφης, ἵνα μὴ κλᾶται αὕτη· ἀλλ' ἐπ' ἀπαλῆς· ἡ γὰρ χιὼν τηκομένη κατ' ὀλίγον, κὴ ποτίζουσα τὸν γλῶ, τρόφιμός ἐστι ζῶις ἐσπαρμένοις. Ὀφρά οἱ εὐετύῃ χαίρῃ) Τῇ εὐετηρίᾳ τοῦτο ἀκολουθεῖ, ὃ χαίρειν τ γεωργόν. ὁ δὲ νῦς, ὅπως τις εὐθέως προσδεχόμενος χαίρῃ, μὴ οὖν ὀρωρύχοιεν λίαν οἱ βόες· ὁ γὰρ καθ' κόσμον, ἀλλὰ χαλεπὸν κὴ τεταραγμένον τ ἀέρα μιμοῦνται. κὴ χιὼν ἂν εἴη πολὺς ἐν τοῖς ἀρόμαις, ἐπὶ τῇ μήπω κεκεμμένῃ ὃ ἰσχυρᾷ πόᾳ τ ἀσθενοῦν, προσ τὸ χιόνα δυνάσθαι φέρειν, κὴ τοιοῦτο

ψύχος

ψύχος ἀναδέξασθαι. Μησὶ εἶεν καθυπέρθεν) Τοὺς ἡμιτόμους οἱ πυθαγορικοὶ τοῖς πολυωνύμοις συγκατειλήφασιν, καὶ μακρὰς ἀνακυκλήσεις χρόνων, ἄλλοτε ἄλλη φθειρομένους, ἵνα τὸν ὑποπτέμβριον κατὰ τὰ βόρεια σπλοῦς τοῦ ζωδιακοῦ καὶ τῶν φαινομένων. οἷς αὐτὸ τοῦτο ἀντιπίπτει· τοῖς μὲν πολαιοτάτοις ὡρισμένος ὅπου ἐστὶν ὁ ζωδιακὸς κύκλος· ὅρος δὲ ἦν καὶ εἰς τοὺς πολαιοτάτους, σπλοῦς τούτου τοῦ τόπου φαινόμενος. καὶ ἅμα εἴσω εἰς τοὺς πολαιοτάτους ὢν, πάντως ἂν καὶ τοὺς τούτου πρεσβύτερους οἱ περὶ τὰ μαθήματα θεοὶ παρετήρησαν, ὡς καὶ τῶν πολαιοτάτων· ἀλλ' οὐδὲ εἷς ἐστιν, ἀλλὰ πολείονες, καὶ οὐχ ἑνὶ τόπῳ ὁρώμενοι. τοὺς μὲν οὖν ἄνω τῶν ἀστέρων ἔχοντας τὸ ἡμισυ, ἡμιτόμους ἐκάλεσαν· τοὺς δὲ κάτω, παγωνίας· ξιφηφόρους δὲ, τοὺς κάτωθεν. Δημόκριτος δὲ καὶ Ἀναξαγόρας, καθὰ σύλληψιν δύο πολαιομένων, νύκτα πολλὸν ἀλλήλων θεούσων), καθαίρεσθαι ἐσόπτρων ἀντιλαμπόντων ἀλλήλοις, τοὺς ἡμιτόμους στοιχεῖσθαι λέγουσι. Ὅτι δὲ πολανώμενοι τοῦτο λέγουσιν· ὅτε μὲν ἐν τῷ ζωδιακῷ μόνῳ φαίνονται), ἀλλὰ καὶ ἐν τοῖς βορείοις, καὶ τοῖς νοτίοις· τρεῖς τε ἐν τῷ αὐτῷ πολλάκις ὁρῶνται) ἡμιτόμοι). πέντε δὲ ὄντων πολανήτων, τρεῖς ὁρᾶσθαι ἡμιτόμους ἀδύνατον. καὶ τοὺς ἀπλανεῖς δέκα ὁρᾶν) κόσμους ἔχοντες. ἐπὶ μὲν τῷ ἱερῷ τοῦ κυνὸς Ἀριστοτέλης φησὶ τετηρηκέναι ἡμιτόμους, καὶ τοῦτο πεπεισθῶν, ὅτι χρεὼν δύσεως οἱ ἡμιτόμοι κατὰ μικρὸν ἀποφαυσκόντες ἀφανίζονται). πολλάκις τε ἐγγὺς ἀλλήλων ἐγγίνονται ἡμιτόμοι καὶ πολανῆται), ὡς ἔστι σκοπεῖν. ὁ δὲ Ποσειδώνιος ἀρχὴν γενέσεως ἔχειν φησὶ τοὺς ἡμιτόμους, ὅταν πρὸς τοῦ ἀέρος παχυμερέστερον ἀνθλιβὲν εἰς τὸν ἀέρα, τῇ τοῦ ἀέρος ὁδῷ ἐνδεθῇ· εἶτα πολὺς πλείονα δῖνον ἐπιῤῥέουσης τῆς συστροφῆς φέρων). διὸ συμβαίνει αὐτοὺς μὴ μείζονας αὐτῶν ὁρᾶσθαι ἢ ἥπονας, ὡς ἂν, ποτὲ μὲν ἐπιδηλούσης τῆς συστροφῆς αὔξεσθαι, ποτὲ δὲ λειπούσης συστέλλεσθαι· τοιοῦτον γοῦν καὶ εἰς τὸν ἀρκτικὸν ἀστερισμὸν μάλιστα τόπον, ἀλλ' ἔνθα πεπληρωμένος καὶ παχυμερής ἐστιν ὁ ἀήρ. καθὰ δὲ καὶ φαύσεις αὐτῶν καὶ πάλιν διαλύσεις, τροπὰς συμβαίνει γίνεσθαι ὁ ἀέρος, αὐχμούς τε, καὶ ἐκ τῶν ἐναντίων ῥαιδαίους ὄμβρους κατὰ διάλυσιν γίνεσθαι αὐτῶν, ὅτε δὴ ἐν ἀέρι τῆς συστάσεως αὐτῶν γινομένης. ὅθεν καὶ ὁ Ἄρατος λέγει, αὐχμῶν αὐτοὺς σύμβολα παραδιδοὺς ὑπάρχοντας. Ἱπποκράτης μέντοι ὁ πυθαγορικὸς ἕνα λέγει τὸν ἡμιτόμων. καὶ οἱ μὲν λοιποὶ ἰδίας αὐτῶν τὰς κόμας ἀποφαίνουσι). ὁ δὲ, κατὰ τὴν ἀνάκλασιν, ὡς ἐπὶ τὸν ἥλιον ἀπὸ τῶν ὄψεων, διὰ τὴν τῶν ὑγρῶν ἀναθυμίασιν, εἰς αὐτὸν ὁλκὴν φαίνεσθαι. Σπόρος δέ φησιν, ὅτι ἡ ξηρὰ ἀναθυμίασις, ξηρᾶς τῆς γῆς καὶ αὐχμηρᾶς τυγχανούσης, ἀναδιδομένη, ποιεῖται κομήτας, ἀστέρας καλουμένους. ὑπὸ γὰρ τῆς ἰδίας θερμότητος ἐξαιωρουμένη ῥᾳδίως, ἐπὶ τὸν ὑποκειμένων, οἷον ἀστέρας, ἢ ἀκτῖνας ἀναπέμπει πρὸς τὸ ἄνω. ἐπὶ γὰρ πῦρ ἄνω πέφυκε φέρεσθαι, τὰς δὲ ἀκτῖνας τοῦ παντὸς ἀστέρων κόμας εἶναι νομίζουσιν.

Οὐδέ μιν ὀρνίθων ἀγέλαι ὑπιεσθεν αὐπὴρ,
Ἐκ νήσων ὅτε πολλαὶ ὑπιπλέωσιν ἀρούρας

Ερχομενος

Ερχομὼν θέρεος χαίρῃ· τῷ δειδίδιε δ' ἀηδὼν
Αμήτῳ, μή οἱ κενεὸς κὴ ἀχυρμιὸς ἔλθῃ
Αὐχμῷ δυσηθείς. χαίρῃ δέ που ἀμπόλος αἰὴρ
Αὐταῖς ὀρνίθεσσιν, ἐπωλυκτὴ μέζον ἰάσιν,
Ελπόμενος μετέπειτα πολυγλαιέος ὀπιαυτοῦ·
Οὕτω γὰρ μογεροὶ κὴ ἀλήμονες ἄλλοθεν ἄλλοι
Ζώομεν ἄνθρωποι· ταὶ ὑπὲρ ποσὶ πάντες ἕτοιμοι
Σήματ' ἐπιγράψαι, κὴ ἐς αὔλακα ποιήσασθαι.

Οὐδὲ μὲν ὀρνίθων) Οταν πολλαὶ ὀρνίθων ἀγέλαι ἀπὸ τῶν νήσων ἔρχωνται ἐπὶ τὸν χέρσον, οἱ γεωργοὶ τῷ τὸ θέρους ἀγωνιῶσιν, αὐχμηρὸν τεκμαιρόμενοι γενήσεσθαι· οἱ δὲ βυκόλοι μεγήθεσι μάλιστα, ὅταν μὴ κατὰ τὸν τῆθος σεσηθρισμένας βύας) ἐπὶ τὴν γῆν, ἀλλὰ τεταγμένως ἐπιπάμπαν ὦσι· πολυγάλακτον γὰρ τεκμαίρονται τὸ σιαυτόν. εἶτα ἐπιφέρει οἰκεῖον λόγον τῆς τῶν ἀνθρώπων ἀθηνείας, καί φησιν, ὅτι τούτῳ τῷ τρόπῳ ζῶμεν οἱ ἄνθρωποι, κὴ κακοπαθοῦντες, κὴ μηδὲν βέβαιον ἔχοντες ἐν τῷ βίῳ, ἀλλὰ μόνα τὰ τοῦ τὸν κόσμον σημεῖα, ἃ μέν, καπειληφότες ἐκ διδασκαλίας ἐμπειρίας, ἃ δὲ κὴ τεκμαιρόμενοι ἀπὸ τῆς μελλούσης παρατηρήσεως γνώσεσθαι. τοῦ δὲ τῶν ὀρνίθων Αριστοτέλης φησὶν, ὅταν μὲν ψυχρὸς κὴ ὑγρὸς ᾖ ὁ ἀὴρ, τοτὲ μὲν καῦται κὴ αἱ νῆσοι βρεχόμεναι, ἀναφύουσι, καὶ τὰ ἐν αὐταῖς ὄρνεα ἀνατρέφουσιν· ὅταν δὲ αὐχμώδης ᾖ καὶ ξηρὸς, τότε παντελῶς τῶν νήσων μὴ ἀναφυομένων, ἐπὶ τὸν γλῶ τὰ ἐν ταῖς νήσοις ὄρνεα φεύγουσιν, εἰς ὃν δύνανται κἂν ἐξ ὀλίγου τρέφεσθαι. κὴ οἱ κηλοιοὶ δὲ ἐκ τῶν νήσων πετόμενοι, τοῖς γεωργοῖς σημεῖον αὐχμοῦ κὴ ἀφορίας εἰσίν· ἐὰν δὲ ἔμμενέσι χωρῶσιν, εὐκαρπίαν δηλοῦσι. τὸ δὲ αὐχμῷ ἀνιηθεὶς, ἤγουν βλαβεὶς ὑπὸ τοῦ αὐχμοῦ· ξηράτερα γὰρ αἱ νῆσοι τῶν ἠπείρων τυγχάνουσιν, ὡς φησι Πλάτων, θᾶττον κὴ ῥᾷον τοῦ αὐχμηροῦ καταισήματον ἀντιλαμβάνουσι· διὸ καὶ τὰ ὄρνεα φεύγει, καὶ τοῖς ἠπείροις ὡθισπελάζει· καὶ ἄχθεται μὲν ὁ γεωργὸς τῇ τῶν ὀρνίθων ἐπιδημίᾳ, τὸν αὐχμὸν ὑποπτεύων. χαίρῃ δὲ ταῖς αὐταῖς ὄρνισιν ὁ ἀμπόλων, ὅταν ἐν κόσμῳ καὶ πεφυσμένως φέρωνται, ὡς πλείονος γάλακτος γενησομένης, ἀφ' οὗ τὸ ἔνθερμον εἶναι τὸν ἀέρα. Οὕτω γὰρ μογεροὶ) Ηγουν καμματηροὶ κὴ πλανώμενοι ἐν πολλοῖς παφάγμασιν, ἄλλος ἐξ ἄλλων ἔργων καὶ ἐλπίδων ζῶντες· ὁ μὲν γεωργὸς, ἀπὸ σπερμάτων· ὁ δὲ ἀμπολος, ἀπὸ τῶν ἀμπολίων· οἱ δὲ ναῦται, ἀπὸ θαλάσσης. κὴ τὰ πὰρ ποσὶ σημεῖα, τουτέστι τὸ πλησίον γινώσκειν πάντες ἕτοιμοι, ἐξ ὧν μεταχειρίζονται κὴ ἀπὸ τῆς σημειώσεως, ἤγουν ἀπαντᾶν ἀποβαίνοντα, δυνατὰ εἰς πρόγνωσιν ἀγαγεῖν ὕστερον· εἶτα ἐπέξεισι τὰ ἑκάστου.

Αρναπ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αρνασι μὲν χθμῶνας ἐτεκμήραντο νομῆες,
Ες νομὸν ὁππότε μᾶλλον ἐπιχθόμιοι τροχόωσιν·
Αλλοι δ' ὀξ ἀγέλης κριοὶ, ἄλλοι δὲ καὶ ἄρνες
Εἰνόδιοι παίζωσιν ἐριφδόμενοι κεραέσσιν·
Η ὁππότ' ἄλλοθεν ἄλλοι ἀναπλήσωσι πόδεσσι
Τέρασιν οἱ κῦφοι, κεραοί γε μὲν ἀμφοτέρωσι,
Η ὅτ' ὀξ ἀγέλης ἀκούσια κινήσωσι,
Δείλον εἰσελάοντες ὁμῶς· τὰ δὲ πάντοθι ποίης
Δάκνωσιν πυκνῇσι κελυφόμενα λιθάκεσσιν.

Αρνασι μὲν) Οἱ ποιμένες, φησὶν ὅταν θεάσωνται τὰς ἄρνας μὴ κατεπείξεως ἐπὶ τὸν νομὸν ἐρχομένας, χθμῶνα τεκμαίρονται. Αλλοι δ' ἐξ ἀγέλης κριοὶ) Ωσαύτως δὲ ὅταν κριὰς ἢ ἀμνὰς ἐν τῇς τριόδοις ἴδωσι τοῖς κέρασι διεριφδομένας, πηνὰς δὲ τῇς ποσὶν ἀλλομένας, τὰς μὲν ἄρνας τοῖς τέρασι, τὰς δὲ τελείους τοῖς ἐμπροσθίοις, ἐξ ὁμοίας ἠνυομένας ὀρχησμοῖς, χθμῶνος ἡγοῦνται σημεῖον. τὸ μὲν οὖν τῇς κέρασιν ἐρεθίζεσθαι, πάχνας, τῆς τοῦ ἀέρος αὐθαιμόμιοι ψύξεως· ψυχραινόμενα γὰρ αὐτῶν τὰ κέρατα, κνησμώδη γίνεται. τὸ δὲ ἀναπληθῆναι τοῖς ποσὶν, ὁπόταν κατὰ τὸν ἀγέλλιν ὦσι, τὰς μὲν τῇς τέρασιν ἀλλομένας ποσὶ τὰς κεφοτέρας, τὰς δὲ τελείας τῇς δυσὶν, ἅτε βαρυτέρας, χθμῶνός ἐστι σημεῖον· ταραττόμενα γὰρ, τὰ μέλλοντα καταῤῥήγνυσθαι ὄμβρου αὐθαιμόμιοι ἢ μὴ οὖν μάχη, ὑγρότητα καὶ ἐγκεφάλου δηλοῖ· ἡ δὲ ἐπὶ τὸν νομὸν ἄφιξις, ὅτι πλεῖον τὸ θερμὸν διὰ τὸν ἀντιπερίστασιν ἀθροίζεται εἰς βάθη χωρῶν. καὶ ὅταν ἐν σκιᾷ τῆς ἀγέλης ἄκοντες ἐπὶ τὰ ταθμὸν ἐπείγωνται, εἰωθότες δείλης ὑπὸ τοῦ ποιμένος ἐλαύνεσθαι, αὐγὴ δὲ πλησίον ὄντες τῶν ποιμένων, ἀπλησότερον παντα χόθεν τὸν νομὸν ποθοφέρωνται, καθάπερ ὑπὸ τῶν ποιμένων τυπτόμενοι τοῖς λίθοις, πάντα τὰ τοιαῦτα σημεῖα χθμῶνος. Δείλον εἰσελάοντες) Ηγοῦν καθὰ τὸν δείλιν ἐλαύνοντες αὐτούς. ἀκέστια δὲ εἰσέρχονται, ἐπειδὴ αὐθαιμόμια τῆς ταραχῆς τοῦ ἀέρος, ἐμφορεῖσθαι βάλλονται τροφῆς. ὅταν ἐν οἰνομεῖς ἴδωσι τὰς ἄρνας ἐπὶ τὰς νομὰς ποθυμότερον ὁρμώντας, χθμῶνα σημαίνει, τῷ βάλλεσθαι δεδοικότας τὰ θρέμματα, μήποτε συγκλεισθέντα κωλυθῇ, ἀπολαύειν τροφῆς.

Εκ δὲ βοῶν ἐπύθοντ' ἀρόται καὶ βωκόλοι ἄνδρες,
Κινυμένου χθμῶνος· ἐπεὶ βόες ὦπότε χηλὰς

Γλώσσῃ

Γλώσσῃ ὑπωμαίοιο ποδὸς θειλιχμήσωνται,
Ἢ κώτῳ πλευρᾶς ἐπὶ δεξιτερᾶς τμύσωνται),
Ἀμβολίῃ ἀρότοιο γέρων ἐπιέλπεται ἀροτῆας.
Ἢ ἡ ὅτε μυκηθμοῖο θείπλοοι ἀγέρωνται),
Ἐρχόμεναι καθμόνδε βόες βαλύσιον ὦρίων,
Σκυθραὶ λιμνῶνος πόριες ἠὲ βαθυσίοιο,
Αὐλίκα τεκμαίρονται) ἀχείμεροι ἐμπλήσθαι·
Οὐδ' αἶγες ποίνιοι θειαπεύδουσαι ἀκάνθας,
Εὖδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμίσγαίνουσαι.

Ἐκ δὲ βοῶν ἐπύθοντο) Καὶ ἀπὸ τῶν βοῶν σημειοῦνται οἱ γεωργοὶ γενησόμενον χειμῶνα, ὅταν τὰς χηλὰς τῶν ἐμπροσθίων ποδῶν τῇ γλώσσῃ θειλείχωσιν, ἢ κατὰ τὸν δεξιὸν μηρὸν ἀνακλίνωνται. ἐπειδὴ γὰρ ἐν τῇ ἀρχῇ τοῦ χειμῶνος ψυχρὰ ἡ γῆ γίνεται, ὁ βοῦς ψυχομένων τῶν χηλῶν τῶν ἐμπροσθίων, τῇ θειλιχμήσῃ πειρᾶται θερμαίνειν· θᾶσσον γὰρ ὁπισθίοις ποδὸς ἡδύναται τῇ γλώσσῃ ἐφικέσθαι· φησὶν οὖν τοῦτο ἀρχῶν χειμῶνος. Ἐπὶ δεξιτερᾶς) Τὸ γὰρ φυσικὸν ἡγεμονικόν ἐστιν αὐτῶν, τὰ δύο νυμφικόν· θερμαίνουσι δὲ αὐτῶν οἱ βόες τὸν ἧπαρ, ἐν τοῖς δεξιοῖς τόποις καὶ μέρεσι κείμενον, ὅπου κατακείμενοι. τὸ δὲ, ἀμβολίῃ ἀρότοιο, εἶπεν, ἐπειδὴ ἐκ δύθους ἀροτριῶμεν, εἰ μὴ καὶ βραχὺ ὀλίγῳ ἴδωμεν· ὁ δὲ βᾶς ἐν ἀρχῇ τοῦ χειμῶνος τοῦτο ποιεῖ, τὴν μέλλουσαν ψύξιν θερφυλακτόμενος· ἀναβολὴν οὖν ἀρότου ἀπὸ τούτου ὁ ἔμπειρος ἀροτῆας ἐτεκμήρατο. Ἢ ἡ ὅτε μυκηθμοῖο) Ὁμοίως δὲ καὶ ὅταν μὴ πλέονος μυκηθμοὶ οἱ βόες ἐπείγωνται ἐπὶ τὸν καθμόν, αἱ δὲ δαμάλεις ἀνάλλωνται τοῖς ποσὶ, καθάπερ ἐπὶ τὸν κριῶν, χειμῶνα σημαίνει. τὸ οὖν θείπλοοι, ἀντὶ τοῦ πεπληρωμένην· σκυθραὶ δὲ, σκυθρωπαί. τὴν οὖν δείλην σκυθρωπὴν ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ βυθοσίου, ἤγουν τοῦ τὴν βόσιν τροφὴν παρέχοντος τόπου, ἐπὶ τὸν καθμὸν παραγινόμενα, ὡς πολυχείμερον βαλόμενα ἐμπλήσασθαι, καὶ ἀφ' ἑτέρου ὀκνηρῶς ἐπὶ τὸν καθμὸν ἐρχόμενα, χειμῶνα θεσδέχονται συγκλεισμόν· διὸ βέλονται ἐμπλησθῆναι. Οὐδ' αἶγες πτίνοιο) Καὶ αἱ αἶγες δὲ, ὅταν μεθ' ὕν ἐπείξεως δρέπωνται τὰς πίνους, καὶ τὰς κλάδους ἀποσπῶσι, χειμῶνα σημαίνουσι, θεσλαμβάνεσθαι τὰ ἀπὸ τῆς νομῆς ἤθεν. Οὐδὲ σύες φορυτῷ) Καὶ οἱ σύες δὲ θεὸς τὸν φορυτὸν ὀρέγεσι βόρβορον, ὅταν ἀτελέστως ἔχωσι, τὰ ὁμοῖα σημαίνουσι· τὰ γὰρ ἐσόμενον δεδοικότες χειμῶνα καὶ συγκλεισμόν, τοῖς βοσκήμασιν ἐγχρονίζειν βούλονται.

Καὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Καὶ λύκος ὁπποτε μακρὰ μονόλυκος ὠρύηται.
Ἢ ὅτ' ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀνδρῶν
Ἔργα, κατ' ἔρχηται σκέπαος χατέοντι ἐοικώς
Ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λίχνοι αὐτόθεν εἰη,
Τείς τριτελλομένης ἠοῖς, χιμῶνα δοκεύων.
Οὕτω καὶ περὶ τέρεις ὅπι σήμασι τεκμήραο
Εἰσομένων ἀνέμων, ἢ χείματος, ἢ ὑετοῖο,
Αὐτίκα, ἢ μετ' αὐτίκα, ἢ τρίτατον ἐτ' ἐς ἠῶ.

Καὶ λύκος ὁππότε) Καὶ λύκοι ὁπόταν κατακμάνας γλυόμενοι ἐπιμηκέστερον ὠρύωνται, καὶ ὅταν σιώπης παραγίνεσθαι τοῖς τῶν γεωργῶν ἔργοις τολμῶσι, μὴ καταπλησσόμενοι τοὺς ἀνθρώπους, διὰ τὸ χρείαν εἶναι αὐτοῖς σκέπης· χιμῶνα σημαίνουσι μέχρι τρίτης ἡμέρας. καὶ ἐπὶ τῶν προειρημένων δὲ πάντων τὸ αὐτὸ δεῖ παρατηρεῖν, ἀπὸ τῆς ἐνεστώσης ἡμέρας μέχρι τῆς δευτέρας ἢ καὶ τρίτης. λέγει δὲ, οἱ μὲν, τῶν κριτῶν· οἱ δὲ, τῶν ἐνόδρων ἐξέλαβον, ἵνα τι ἁρπάσῃ· τότε οὖν χιμῶνα δεῖ προσδοκᾶν τρίτῃ ἡμέρᾳ· τοῦτο γὰρ ποιεῖ, ὑπὲρ τοῦ προλαβεῖν τὸν τοῦ ἀέρος ψυχρὸν, καὶ πρὶν ἢ συγκλεισθῆναι τὰ θρέμματα, ἁρπάσαι τι καὶ παραχρῆμα ἑαυτῷ τροφήν· τὸ οὖν, τρὶς προτελλομένης ἠοῦς, ἀντὶ τοῦ τρίτην τῆς ἡμέρας παρελθούσης, ἤγουν μὴ γ'. ἡμέραν. Οὕτω καὶ περὶτέροις) Ὁμοίως, φησὶ, καὶ περὶ τῶν προειρημένων σημείων ἔχε, ὡς ἢ παραχρῆμα τοῦ ἀέρος σημαινομένου, ἢ περὶ δύο ἡμέρας ἢ τρεῖς.

Ἀλλὰ γὰρ οὐδὲ μύες τετιγότες εἴποτε μᾶλλον
Εὐδιοι ἐσκίρτησε, ἐοικότες ὁρχηθμοῖσιν,
Ἀσκεπέσι ἐλμίνθοντο παλαιοτέρησι ἀνθρώποις·
Οὐδὲ κύνες· καὶ γάρ τε κύων ὠρύξατο ποσὶν
Ἀμφοτέρῃς, χιμῶνος ἐπερχομένοιο δοκεύων.
Καὶ μιν ὀξὺ ὕδατος καὶ καρηνὸς ἔχετο χέρσῳ,
Χιμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὀδοῖο.

Καὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Καὶ μύες ἠμέριοι ποσὶ σιβάδα τροφῶντες
Κοίτης ἰμείρουσ᾽), ὅτ᾽ ὄμβρος σήματα φαίνοι,
Καὶ κεῖνοι χθμῶνα μύες τότε μαντεύον᾽).

Ἀλλὰ γὰρ οὐδὲ μύες) Καὶ οἱ μύες φθεγγόμμοι καὶ σκιρτῶντες, ὅμμοιοί τε γινόμμοις ὀρχουμμόοις, χθμῶνα σημαίνουσι· καὶ γὰρ ἔτοι τὸ ἀέρος πλήσεως αἰσθανόμμοι, τοῦτο ποιοῦσιν· ἢ ὅλι ἀσθενὲς λεπτὸν τὸ δέρμα ἔχοντες, ἐπειδὰν ψυχρὰν ὑγρομμόλωσι τὴν γῆν παπήσωσι, μὴ φέροντες τὸ κρύος, ἄλλονται. Οὐδὲ κύνες) Ἀπὸ κοινοῦ τὸ ἄσκεπτοι. καὶ οἱ κύνες οὖν τοῖς ἐμπεφθθόοις ποσὶ τὴν γῆν ὀρύττοντες, καὶ οἱονεὶ βαθεῖαν ἑαυτοῖς κοίτην δύτες ἐπίζοντες, χθμῶνα σημαίνουσιν· ἀπὸ γὰρ τῆς τοῦ ἀέρος ὑγρασίας, ὥσπερ καὶ ἄδυσίν πινα ζητοῦντες, τὰ αὐτὰ σημαίνουσιν. ἢ ὅτι φιλόψυχρος ὢν ὁ κύων, καὶ χαίρων ἐπὶ τῷ ἐσομένῳ χθμῶνι, σκάπτει τὴν γῆν πυίζων. τινὲς δὲ τὸ ὠρύξατο, ὠρέξαθ γράφουσιν, ἵν᾽ ἢ ἀντὶ τοῦ ἐξέτεινεν· ἀρχομένου γὰρ τοῦ σώματος αὐτοῦ ἀπὸ τοῦ ψύχους πυκνοῦσθ, ὄντος καὶ φύσιν ψυχροῦ, βαλόμμος τὸ σῶμα διαλύειν, ἐκτείνει αὐτό, ὡς ἡμεῖς μὴ ὕπνον.

Τῶν μηδὲν καθύπνου, καλὸν δ᾽ ἐπὶ σήματι σῆμα
Σκέπτεσθαι, μᾶλλον ὅ δυοῖν εἰς ζωὸν ἰόντοιν
Ἐλπωρὴ τελέθοι· τρίτατον δέκα θαρσήσας.
Αἰεὶ δ᾽ ἂν τείνος ἀεθμοίης ἑαυτοῦ
Σήματα, συμβάλλων εἴπου καὶ ἐσ᾽ ἀστέρι πρίν
Ἠὼς ἀντέλλουσι κατέρχεται, ἢ καπόντι
Ὁππόιον δὲ σῆμα λέγοι. μάλα δ᾽ ἄρκιον εἶη
Φεύγεσθαι φθίνοντος, ἐφισταμμόιό τε μηνὸς
Τετράδας ἀμφοτέρας· αἱ γάρ τ᾽ ἄμμοδις σωτῆρες
Μηνῶν πείρατ᾽ ἔχουσιν, ὅτε σφαλερώτατος αἰθὴρ
Ὁπλῶν νυξὶ πέλῃ, χάτει χαροποῖο σελήνης.
Τῶν ἄμμοδις πάντων ἐσκεμμένος εἰς ἑνιαυτὸν,
Οὐδέ ποτε θεσίως κεν ἐσ᾽ αἰθέρι πημήσειε·

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Τῶν μηδὲν) Τῶν καταλελειμμένων σημείων μηδὲν καταμεμψάμενος παροδεύσῃς, ἀλλὰ κἂν δύο σοι ἐν τῇ αὐτῇ νύκτι φύωνται σημεῖα, βεβαιότερα σοι ἔσται ἡ πρόγνωσις· μᾶλλον δὲ τὰ δύο, εἰ εἰς ταὐτὸν συνελθοι· τεκμαίρομαι γὰρ σημείοις εἰ βελτίω ἐσόμεθα βεβαίαν τὴν ἀκολουθίαν ἕξειν, σὺν ὀφείλομεν ἐν ἑνὶ σημείῳ πιστεύειν, ἀλλὰ καὶ δευτέρῳ· ἐὰν μέντοι γε καὶ τρίτον προστεθῇ, βεβαιοτέρα γένοιτο ἡ κατάληψις. Αἰεὶ δ' ἂν προϊόντος) Χρήσιμον δὲ καὶ τοῦτο, τὸ τὰ σημεῖα τὰ παρελθόντος χρόνου μεταβάλλειν πρὸς τοὺς συνεστῶτας, καὶ ἀπὸ τῆς τῶν ἀστέρων ἀνατολῆς τε καὶ δύσεως σκοπεῖσθαι πρὸς ἃ μέλλοντας, εἰ τοῖς προλαβοῦσιν ὁμοῖα γίνεται τὰ σημεῖα. Εἶπον καὶ ἐπ' ἀστέρι) Ἦρξω εἰ τῷ αὐτῷ ἀστέρι ἀνατέλλοντι καὶ δυόντος τὰ αὐτὰ σημεῖά ἐστιν· ἢ εἰ προς τὸ σημεῖον τοῦ ἀστέρος τριαύτη καὶ ἡ ἡμέρα φανήσεται· οἷον ἂν ὁ ἀστὴρ χειμῶνα δηλώσῃ, εἰ καὶ ἡ ἡμέρα δύρεθείη σκοτεινὴ καὶ χειμερινή· ἢ ἐάν που τὸ ἀστέρι ἀνατέλλοντι ἢ δυόντι τοιαύτη γένηται ἡ ἡμέρα, οἵαν λέγει καὶ τὸ σημεῖον. ἢ ἐὰν προς τὸ σημεῖον, ἤγουν προς ἃ λέγει τὸ σημεῖον, τοιαῦτα σύμβολα καὶ ἐπὶ ἀστέρι ἀνατέλλοντι ἢ δυόντι λέγει· ἢ ἐὰν ἐπὶ τοιούτῳ ἀστέρι προς φόρῳ ἀνατέλλοντι ἢ δύοντι, ὁποῖον λέγει τὸ σημεῖον ἡ ἡμέρα ἔλθῃ· ἢ ἐὰν προς τὰ σημεῖα καὶ ἀστὴρ ἀνατέλλων ἢ δύνων, σύμβολον ἡμῖν δείξῃ τοιαύτης γενησομένης ἡμέρας. Μάλα δ' ἄρκιον) Χρὴ δέ, φησι, προς πάντων τῶν τεττάρων τὸ μηνὸς παρατηρεῖν, ἀρχομένης τε καὶ λήγούσης τῆς σελήνης. οὖσι γὰρ αἱ ὁκτὼ ἡμέραι, δ'. ἀρχομένου μηνός, καὶ ζ'. καὶ εἰκάδι λήγοντος, ἀκριβεστάτην ἔχουσι τὴν παρατήρησιν, ἀφ' τὸ τὴν σελήνην συνδεῖν ἐν αὐταῖς, ὡς προς τὴν πληροσέληνον. ἢ προσήκει τοῖς τεττάρσι τοῦ μηνὸς φθινόντος τε καὶ ἱσταμένου προς ορᾶν· ἐν γὰρ ταύτῃς καὶ συνόδοι ἐπέρχονται σελήνης, ὅτε καὶ μάλιστα ὁ ἀὴρ μεταβολὰς ποιεῖ τῇ νυκτί, ἀφ' τὸ μὴ καταλάμπειν τὴν σελήνην, μηδὲ θερμαίνειν τὸν ἀέρα παχυνόμενον. ὁ δὲ νότος, φυλάσσου τοῖς τεττάρσι τοῖς δύο, ἐπεὶ πέρατα τῶν δύο μηνῶν εἰσὶν ὁμοῦ συνεχομένων, ὡς οἷον μεθόριον ὑπαρχούσας, ὅτε καὶ ὁ αἰθὴρ σφαλερός ἐστι καὶ ὀμβροφόρος· σφαλερὰ γὰρ τὰ προς τὸν ἀέρα, ἐν ταῖς ὁκτὼ ταύταις ἡμέραις, ἀφ' τὸ ἀπεῖναι τὴν σελήνην, καὶ καταψύχεσθαι ἄπαντα τὸν ἀέρα· συνδεῖς γὰρ τοῦ σελήνιακοῦ φωτὸς αἱ ὁκτὼ νύκτες εἰσὶ, καὶ ἐπισφαλεῖς, ἀφ' τὸ ἀνυδρον φωτὸς εἶναι καὶ καταψύχεσθαι. Τῶν ἀμυδρῶς πάντων) Τέτταρα ἀθρόως, ὡς εἴπομεν, συνελθόντων, τῶν τε ἀπὸ τῶν μετεώρων, καὶ τῶν προς γείων ζώων καὶ φυτῶν, σὺν ἂν ῥᾳδίως τεκμήραιο, ἐπὶ ταῖς γινομέναις τοῦ προέχοντος· ἡμᾶς ἄρος μεταβολαῖς, ἀλλ' ἀκολούθως τοῖς προς αὐτόν· ἢ τούτων πάντων εἰ ποιήσαιο καταλήψιν καὶ παρατήρησιν ἀκριβῆ, τῶν τε ἀπὸ τῶν μετεώρων καὶ τῶν ἄλλων τῶν προειρημένων, ὀλίγου ποτὲ πλανηθήσῃ προς τὸν ἀέρα, ἤγουν περὶ τὴν προθεσιν τοῦ καθασήματος· τὸ οὖν ὀλίγου ποτὲ ῥᾳδίως, ἀντὶ τοῦ, σὺν ἂν ῥᾳδιάσας εἰκῇ τι σημειώσαιο, ὅταν ταῦτα μὴ σκοπῇς, μέτρον δὲ τῆς τηρήσεως τοῦ συνεχοῦς. τὸ ῥᾳδίως ἔν, ἀντὶ τοῦ προς φάτως, ἀσκόπως, παρέργως, προπετῶς, καὶ ὡς ἔτυχε.

ΕΠΙ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ΕΠΙΛΟΓΟΣ.

Ταῦτά σοι, ὦ Ἰούλιανὲ, σπουδάζοντες, ζωχρὸν πεποιήμεθα τὸν ἐπαγγελίαν. ἄλλοις μὲν μελέτω γράφας ἀλλοίας ποιεῖν, καὶ εἰ μὴ πρέπει ὁ Ἄρατος μυηθείη, πάντα τὰ περὶ πρέπεως διερευνᾶν· εἰ δὲ περὶ βοώτου, τὰ περὶ ἐκεῖνον· εἰ δὲ περὶ ἀρχτοῦς, τὰ περὶ τοὺς ἀρχτουρίζας. τοῖς γὰρ βουλομένοις τὰ περιμήκισα βιβλία καταλιπεῖν, καὶ πλείονα καὶ τοῦ ἀναγκαίου ὄγκου, τοσαῦτα ὀδοί· ἡμεῖς δὲ ἐξηγηταὶ τοὺς ἐξηγητὰς ποιησάμενοι, καταλείπομεν τὸ περιττὸν τῆς συντακτικῆς ἐκδόσεως· εἴρηται δὲ πάντα τὰ ἀναγκαῖα καὶ συντελοῦντα πρὸς τὸ σαφὲς, ἀπραγμόνως, καὶ ὡς ἂν ἀνδρὶ ἁπτομένῳ μαθημάτων φιλοσοφῶν καὶ ἐξηγήσασθαι πρέπον ἦν. τὰ ποιήματα δὲ λίαν φανερῶς ὡς λέγεσιν ἐξ ἀγωνίας παρελήλυθεν. τί γὰρ ἤσκηται ἄκαιρον ἐνδείκνυται πολυμαθίαν, καὶ καταλέλοιπεν ὅσων καὶ ἡλίκων ἀστέρων ἔκαστον ἄστρον, καὶ ποίας διηγεῖται κύκλους πολλῶν, μηδὲν εἰς τὸ ποίημα συντελούντων, καὶ τὰ ὅλα ὅσα γράφουσιν ἀμέτρως, ἐκ πολυμαθίαν τὴν αὐτῶν εἰς μέσον πιθέντες, πάντες δὲ φιλόσοφοι θέλοντες εἶναι.

Τέλος τῆς τοῦ Ἀράτου Φαινομένων, καὶ Διοσημείων, καὶ τῆς τοῦ Θέωνος σχολίων.

Ἀποσπασμάτια τοῦ Ἀράτου.

Ἐξ Ἰουλίου Πολυδεύκους.

Ἄρατος ἐν τοῖς Ἰατρικοῖς.

Ἤδη γάρ ποτ' ὄπωπα καρήατα πολλὰ μὴν αὐτῶς
Μεσατίης κορυφῆς μένῃ σπουδέργματα γραμμῇ
Πολλαὶ δ' ἀῤῥαφέσιν κεφαλαὶ πάγεν ἀνθρώποισι.

Ἐκ Στεφάνου περὶ πολέων.

Αἰάζω Διόπειον, ὃς ἐν πείρασι κάδηται
Γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων.

In

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd
Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

In Manuſcriptorum altero quibus uſi ſumus, in libri fere medio, editionis noſtræ *pag.* 61. quæ ſequuntur carmina occurrebant, à reliquis exemplaribus prorſus aliena; quanquam videntur à Maximo Planude interpolata, ut Ptolomæi placitis accederetur; qualiacunque fuerint, ne aliquid ſubduxiſſe videremur, apponenda duximus.

ΕΝ δέ οἱ ἐσπομφὺς διδύμων τὸ μέσον καθορᾶται,
Εν δέ τοι ὑάδες, ἃς ἀνέχει λοφιῆς ἔπι ταῦρος
Γλωχὶν πληϊάδων, ἣν ἐς βορέλω σκοπάζει.
Ιχθύϑ. αὖ κεφαλὴ βορεωτέρω ἐστὶν ἐν αὐτῷ,
Ανδρομέδης κεφαλῶ ὃ κ̀ ὀρνίθιον ἀθρήσεις
Ρᾶμφϑ., ὑπερκύκλοιο βορειοτέρης ὅπὶ χώρης,
Μικρὰ βορειοτέρης, κ̀ ἀπέσαϛαν ἄμφω ἐς ἴσην·
Ες μέσον ἀμφοτέρων δ' ἵππω γόνυ μᾶλλον ἐκείνων
Αγχι πρόχῦ κέκλιται, κ̀ μικρῦ δεῖν ἐν ἐκείνῳ.
Τῦ τ' ἐν γένασι δεξιτερὸς διατέμνεται ὦμϑ.,
Καὶ πολυπλεθροτάτω μυκτὴρ ὄφεως ὀφιούχω,
Αὐτῦ τ' Αρκτέρω ἀειδέκετϑ. ἐς πόλον ἀχὴρ.
Αὐτὰρ ἔπειτα λεοντὴ ὀσφὺς, ἔπειτα ὃ χαίτη.
Εἶτα δ' ὄνων ὁ βόρειϑ. ἐπόψια σήματα κύκλω,
Καρκίνον ἐς μῆκϑ. γὰ ὅλον πρόχαλϑ. διαμείβων,
Δοιὰ μὲν ἐς νότον, ἓν ὃ βόρειον ἐς ἄντυγα λείπει·
Τῦ μὲν ὅσον τε μάλιϛα δι' ὀκτὼ μετρηθέντϑ.,
Πέντε μὲν ἔνδια τρέφεται καθυπέρτερα γαίης,
Τὰ πρία δ' ἐν περάτῃ, θέρεος ὃ αἱ ἔντροπαι εἰσί.
Αλλ' ὁ μὲν ἐν βορέω πρὸς καρκίνον ἐσήλυτα,

Αλλος

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Αλλος δ' ἀντιόωντι νότων, ὅπ αἰγοκερῆϑ.
Τέμνῃ, καὶ προφάλιγγα μέσην ὑδροχόμβϑ. ὑγρῆ·
Οἷς ἅμα κήτεϑ. ὑραῖον νοτιώτατον αἴρει,
Καὶ πόδα προβλήδιον νότιόν τε ϑοοῖο λαγωῆ.
Μεσάτιός τε κύων ἀπομείρεται ἔνϑα καὶ ἔνϑα,
Εἶτα δ' ἀκροσόλιόν τε καὶ ἴσιον ἀρχόϑ. ἄκρον
Σχίζει· καὶ κεφαλῇ κήρακος βορέῳ δ' ἀπολείπει.
Αὐτὰρ ὕδροιο δίεσιν ἀειρομβύης ἄκρον ὑρῆς,
Ανταρέως τ' ἔχεται, τῆ σαρπήϑ. ἴσχει ἐν αὐτῷ
Ασέρα παμφανόωντα. καὶ ὑδὲ σὺ τοξόται φεύγεις
Αλλὰ καὶ ὑμετέρῃ κεφαλῇ δι' μέσσον ὁρίζει
Τὸν πύματον &c. p. 63. inde p. 65.
Σῆμα δέ οἱ σωλῆσμος, ὃς ἰχθύας εἰς ἓν ἐλαύνει.
Εν δὲ γόνϑ. μεγάλη μεγακήτεϑ. ἕπλετο κήτευς,
Καὶ μέσον Ωρίωνϑ., ὅπι ζώνη κῦ μῆκϑ.
Εκτέταται, καὶ ὕδρῃ σαρὸτη καμπὴ κρυεροῖο.
Παρθενικῆς δ' εἴδωλον ἕπεται διάνδιχα τέμνει
Λοξὸν ἀπὸ πτέρυγος λαιῆς, ἄλλῃ ἐπιπέζαν.
Εἶτ' ὄφεως μεγάλοιο, τῆ ἀμφοτέραις Οφιῦχϑ.
Δραξάμβυος κατέχει καμπῇ σαρὸτην μῦ χερσὶν,
Οὐρῇ δ' ἀκροτάτῃ, καὶ δεξιὸν ἄνερος ὦμον.
Οὐ πολὺ σαρὸς βορέην ἀπολείπεται, ἐς μέτρα δ' ἴσται
Αιετὸς ἐκτανύσας, δ' ὠκύπτερον ἐς νότῃ οἶμον
Δεξιτερὸν κύκλοιο παράσχεται· ὑδροχόϑ. δὲ
Αὐτῇ ἔχει κεφαλῇ ὄπικύκλῃ· τῶν νεπόδων δὲ
Ος νοτιώτερός ἐστι, διχάζεται ἄλλ' ὅπι μῆκϑ.
Τῆς μὲ σαρὸ βολάδην ὀρθὸς σαρατέλλεται ἄξων.

Σων-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Συνέταξεν Αρατος Σολεύς ἢ Σουίδας.

Φαινόμενα. Ὕμνος εἰς Πᾶνα. Σπονδοφόρος. Παίγνια. Ἀστρολογίαν καὶ Ἀστροθεσίαν. Σώθεσιν φαρμάκων θηριακῶν ὁπτικὴν εἰσαγωγήν. Ἀνθρωπογονίαν Ἐπωδικὴν εἰς Θεόφροπον. εἰς Ἀντίγονον. Ἠθοποιΐας. Ἐπιστολάς. Ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου. Ἀνατομὴν εἰς Παυσανίαν τὸν Μακεδόνα. Ἐπικήδιον Κλεομένους. Διόρθωσιν Ὀδυσσείας. Ἐπιστολὰς καταλογάδην.

Περὶ τῶν Ἀράτου συνταξαμένων.

Ἄτταλος ῥόδιος. Ἀρίσταρχος σάμιος. Ἀπολλώνιος γεωμέτρης. Ἀντίγονος γραμματικός. Ἀγησάναξ. Ἀείσυλλοι δύο γεωμέτραι. Βοηθὸς. Γεμῖνος. Διόδοτος. Δίδυμος κνίδιος. Ἐρατοσθένης. Ἑρμιππος. Εὐάνθης. Ζήνων. Ἡλιόδωρος στωϊκός. Θαλῆς. Ἱππαρχος βιθυνός. Κράτης. Πύρρος μάγνης. Παρμενίσκος γραμματικός. Σμύρνης. Τιμόθεος. Εὐάνετος ἕτερος. Ἑρμιππος περιπατητικός. Καλλίμαχος κυρηναῖος. Καλλίστρατος τενέδιος. Νικόμηδος γραμματικός. Παρμενίδης. Ἀπολλώνιος γραμματικός. Ἀείσυλλος μέγας. Ἀείσυλλος μικρός. Ἀείσταρχος γραμματικός. Ἀριστοφάνης. Ἀλέξανδρος αἰτωλός. Ἀλέξανδρος ἐφέσιος. Δίδυμος πονηρός.

ΤΕΛΟΣ.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΚΥΡΗΝΑΙΟΥ

ΚΑΤΑΣΤΕΡΙΣΜΟΙ.

Ἐπιστολὴ πρὸς Πτολεμαῖον βασιλέα περὶ τῆς
Κύβου διπλασιασμοῦ.

Μέτρον τῆς γῆς Κύκλου.

Κόσκινον.

Κανόνος Πυθαγόρου κατατομή.

Περὶ Νείλου, καὶ ἄλλα πινά.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Digitized by
INTERNET ARCHIVE

Original from
DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

LECTORI
Præfatio.

DEsideratam diu & quasi Ἀπερόποτμον Eratosthenis *prolem postliminii jure laribus patriis reddituro, prima de Capite ipso & Personâ lis erit: amolienda sc. doli mali invidia, quo sæpissime infimo loco nati per mendacium se clarissimis familiis inseruerunt, & supposititii partus latrocinio quodam alienas opes & nomina vendicârunt sibi, posterisque transmisêrunt.*

Ne moram faciam, in confesso est Eratosthenem *Cyrenæum* Arateorum Phænomenων *fuisse Enarratorem, librumque de* Astris *conscripsisse, quem alii* καταμερισμῶν, *alii* καταστερισμῶν, *alii demum* καταστερισμῶν *appellavêrunt. Quin de opere illo spem olim fecit* Gesnerus *id aliquando prodituru*m, *siquidem in* Bibliothecâ Vaticanâ *asservaretur; sed ut quod verum est fatear, suspicio non levis subest librum quem Is designat, non aliud quidquam esse quàm fragmenta quæ,* Victorius Hipparchi *Editioni subjecit sub* Eratosthenis & Hipparchi *nominibus, quasi incertus esset, ad quem duorum pertine-*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ret : ſed litem eam rectiſſimè diremit Doctiſſimus Petavius *ab utriſq; abjudicans. Interim huc tantùm ſpectâſſe* Geſnerum *eo fidentiùs aſſero, quia in veteri Catalogo librorum Mss.* Vaticanæ *Bibliothecæ ſcriptum reperio titulum ita conceptum,* Ερατοσθένους, ἐν ἄλλῳ ὑπάρχῳ (Ιππάρχῳ *dixiſſet*) εἰς τὰ Αράτου φαινόμενα ἐξηγήσεων τρίτη, *quæ illa ipſa eſſe quæ* Victorius *edidit, dubitare vix datur.*

Ut autem Exemplaris noſtri quod oſtentamus fidem felicius tueamur, dicimus imprimis, ea quæ Achilles Tatius *in commentariis ſuis in* Aratum *ex* Eratoſthene *citat, in hoc noſtro comparere; pariter quæ* Theon *non ſemel ex eodem producit, ibidem reperiri. Sed ne ex verborum apicibus totus pendere videar,* Julius Hyginus *locupletior accedet teſtis, cujus Poetici Aſtronomici utramque paginam implet quem coram exhibemus* Eratoſthenes; *illum ſubinde nominatim citat, at ubique exhaurit, & quaſi pro ſuo tractat. Si autem vel hæc minùs perſuaſerint, in probationis ſubſidium alterum teſtem adhibemus, omni exceptione ut & laude majorem* Germanicum Cæſarem, *cujus Commentarii in* Aratum *nihil prorſus ſunt, ſi excerpta ex* Nigidii Figuli *ſphærâ Græcanicâ, & nupera quædam aſſumenta (quæ ſatis ſe ubique produnt) eximamus, niſi purus putus noſter Codex. Aio autem Commentarium iſtum (quicquid* Scaliger, *aliique viri docti aliter ſenſerint)*

Ger-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Germanici *ipsius esse, eumque non* Aratum *modo, sed &* Eratosthenem *transtulisse; idq; non tantùm conjecturis ductus, quòd nimirum in veteri Ms. Exemplari, quod olim in Sicilia dicitur repertum, nec non altero veteri apographo Collegii Etonensis Regii, utrique simul compareant; aut quod restrictior stellarum in singulis asterismis numerus ævum profitetur, saltem* Claudio Ptolomæo *antiquius: sed quòd* Lactantius Firmianus *hoc affirmatò statuerit. sc. lib.* I. *c.* II. *ubi* Cæsaris Aratum *laudans, illa ipsa refert verba, quæ in Commentariis istis, pariter & Græcis nostris reperiuntur. Plura addere liceret huc facientia, si quod scriptoribus nonnullis nimium placet, in re manifestâ supervacua ingerendo, multæ lectionis laudem captarem: id potiùs monuisse ère fuerit, eam intercedere inter Græcum nostrum Codicem & duas latinas versiones summam necessitudinem & perpetuum ferè concentum, ut si quando de* Eratosthenis *genuina lectione mihi hærere contigerit (quod aliquandò futurum ab unico exemplari editionem instituenti prorsus expectandum) latinarum ope pleraque ultro sese restituerent: pari prorsus lege quâ flumina, quæ post longos errores in mare præcipitantur, licèt limum & salsuginem sibi ex itinere contrahant, sinceros tamen latices, limpidasque undas fontibus suis reddunt, & iisdem (aliàs minime duraturis) perennes*

aquas

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

aquas ſuppeditant. Nè tamen pro impotenti Criticorum tyrannide ſcriptorem male habitum, & pro libidine immutatum literato Orbi videar obtrudere; ſciat ſtudioſus lector à Ms. codice rarò admodum me receſſiſſe: ſi autem id factum, rem geſtam ingenuè profiteri, rationibus palam & apertè redditis.

At interim quota hæc pars laborum Pentathli *noſtri (hoc enim* Eratoſtheni *idque ex merito cognomen) quorum reliqua ferè omnia penitus interciderunt, levibus titulis quaſi è naufragio ægre enatantibus? Ille quidem* Muſæi Alexandrini *Præfectus, par ipſe Bibliotheca, parem utique ſcripſerat: nunc autem vel ipſa Nomenclatura nos pene effugit; at quæ inter legendum mihi occurrebant, ſic fere ſe habent.*

1. *Elucubravit* Eratoſthenes *Grammaticen duobus voluminibus, unde Philologi nomen primus meruit: Eam laudat* Clemens *Alexandrinus* 1. *Strom.* Heſychius *etiam ſæpe in Lexico.*

2. *Geographiam, quam paſſim citat* Strabo, Stephanus *de urbibus*, Vitruv. Plin. Cleomedes, Theon, aliique.

3. *Galaticam Hiſtoriam* 40. *voluminibus, quam ſæpius laudat* Stephanus *de urbibus.*

4. *Amathuſiam, cujus nonum librum citat* Heſychius *in Lexico.*

5. *Chronologiam, quam citat* Euſebius *ſæpius,*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

us, Censorinus, *& præ aliis* Dionysius *Halicarnassæus, qui lib.* 1. *Archæol. aliorum quorumcunque supputationibus insuper habitis* Eratosthenis *Canones pro certissimo fundamento sibi præstruit.*

6. *De Chronographis. Citat* Clem. *Alex. l.* 1. *Strom.*

7. *De Olympionicis. Citat* Laert. *in* Empedocle. *Forte inde desumpta pleraque quæ* Scaliger *in* Eusеb. *edidit.*

8. *De veteri Comœdia. Citat idem* Laert. *in* Zenone.

9. *De ventis. Citat* Achilles Tatius *com. in Arat. &* Lexicon *Astron. Græcum.*

10. *Architectonica & sceuographica, de quibus* Sophocles *in* poll. *l.* 1. *&* 3. Jul. Pollux *in præf. l.* 10.

11. *Pastoralia, quæ laudat* Proclus *in* Hesiod. *l.* 2.

12. *Mercurium, sive Hermetem, carmine Heroico. Citat* Stephanus *de urbibus*, Heraclides Ponticus, Achilles Tatius: *quin refert* Valerius Probus, Virgilii *pleraque in Georgicis inde desumpta.*

13. *De divitiis. Citat* Plutarchus *in* Themist. *Quanquam verisimile admodum, (quod ex conjectura affert doctissimus* Vossius *) potius esse Periplum,* πεϱὶ πλούτου *enim à* πεϱιπλῶ *non multum abludit.*

14. *Ari-*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

14. *Aristonem, ex nomine Præceptoris. Citat* Athenæus.

15. *Homeri diorthosin. Citat idem* Athenæus *l.* 1. *qua in re, ut in aliis,* Arati *videtur æmulus* Eratosthenes.

16. *Harmonica, quæ* Ptolemæus, Nicomachus, Proclus, *aliique citant.*

17. *Arithmeticam, de qua mentio apud* Nicomach. Iamblicum, Philoponum, Boetium, *aliosque.*

18. *De bonis & malis. Laudat* Harpocration, & Clem. Alex. *Strom.* 4.

19. *De Octaeteride.* Geminus *laudat in Isagoge: ut &* Achilles Tatius *in Comm. qui tamen dubitare videtur num genuinum sit opus.*

20. *Epistolas. Citat* Macrobius, Eutochius *in* Archimed. *Quæ autem in Græcanicarum epistolarum sylloge ad* Æschinem *habetur,* Simochatum *habuit authorem.*

21. *Platonicum. Citat* Theo Smyrn. *Mathem. c.* 1. *& etiam c.* 30. *unde censet* Menagius Eratosthenem *vocatum* Platonem *juniorem; & huc referendum illud quod à* Laertio *in* Eudoxo *citatum habetur, è libris ad* Platonem; *licet* Batonis *cujusdam Sinopensis meminerit Athen. l.* 10.

22. *Poemata, de quibus* Suidas. Eutochius *in* Arch. *At Epigrammata in Anthologia, ut & quædam in* Stobæo *carmina,* Eratosthenis *cujusdam Scholastici sunt.* 23. *Astro-*

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

23. *Astronomica, de quibus idem* Suidas *&* Plutarch. *de placit. Philosoph. l.2. c. 31. nec non* Hipparchus, Ptolom. *&* Proclus *in Tim.*

24. *Declamationes, de quibus* Strabo *l. 1. Geogr. quas* μελέτας *is appellat.*

25. *De sectionibus Conicis; quod testatur* Proclus *ad* Euclidem.

26. *Dialogos, de quibus meminit* Suidas; *nisi forte quædam ex prædictis illo dicendi charactere scripta fuerant.*

ΕΡΑΤΟΣΘΕΝΟΥΣ
ΒΙΟΣ.

Ερατοσθένης Αγλαοῦ, οἱ δὲ Αμβροσίου, Κυρηναῖος. μαθητὴς φιλοσόφου Αριστωνος Χίου. γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου, καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Αθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου καὶ διέτριψε μέχρι τοῦ πέμπτου. διὰ δὲ τὸ δύσκριτον ἐν πᾶσι εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσασι, τὰ * βήματα ἐπεκλήθη. οἱ δέ, καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛ'. ὀλυμπιάδι· καὶ ἐτελεύτησεν * π'. ἐτῶν γεγονώς· ἀποχρήσας τροφῆς διὰ

* Notandum non βήματα sed βῆτα legi debere, ita enim *Martianus Heracleota* in periplo suo Ερατοσθένης ὁ βῆτα ἐκάλεσαν: quin & *Hesychius* Milesius Ερατοσθένης διὰ τὸ δευτερεύειν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίζων, βῆτα ἐκλήθη.

* Aliqui Octuagesimum primum, alii 82. ætatis annum attigisse ferunt.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΒΙΟΣ.

ὃ ἀμβλυώτειν, μαθητὴν ὄπισθεν καταλιπὼν Αριστοφάνην Βυζάντιον, ἔτι πάλιν Αρίσταρχος μαθητής. μαθηταὶ δ' αὐτοῦ Μνασέας, καὶ Μένανδρος, καὶ Αρισις. ἔγραψε δὲ φιλόσοφα, καὶ ποιήματα. καὶ ἱστορίας. ἀστρονομίαν, ἣ κατασπερμός. καὶ περὶ τῆς καθ' ἡμᾶς φιλοσοφίαν αἱρέσεων· καὶ ἀλυπίας διαλόγους πολλούς, καὶ γραμματικὰ συγγράμματα.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY


Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd



Digitized by
INTERNET ARCHIVE

Original from
DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd



Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd



Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd



Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ΕΡΑΤΟΣΘΕΝΟΥΣ

ΚΑΤΑΣΤΕΡΙΣΜΟΙ.

Αρκτος ἡ μεγάλη.

ΤΑύτην Ησίοδος φησι Λυκάονος θυγατέρα εἶναι Αρκαδίας οἰκεῖν, ἐλέαν δὲ μετὰ Αρτέμιδος τὴν ταῖς θήραις ἀγωγὸν ἐν τοῖς ὄρεσι ποιεῖσθαι, φθαρεῖσάν τε ὑπὸ Διὸς ἐμμεῖναι λανθάνουσαν τὴν θεόν· φωραθεῖσαν δὲ ὕστερον ἐπὶ τόκον ἤδη ἔσαν ὀφθεῖσαν ὑπ' αὐτῆς λουομένην, ἐφ' ᾧ ὀργισθεῖσαν τὴν θεὸν ἀποθηριῶσαι αὐτήν, καὶ ἄτιμον πεκεῖν Αρκτον γυμνομένην τ κληθέντα Αρκάδα. ἔσαν δ' ἐν τῷ ὄρει θηρευθεῖσαν ὑπὸ αἰπόλων τινῶν, καὶ παραδοθεῖσαν μετὰ τῶ βρέφους τῷ Λυκάονι. μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ τοῦ Διὸς ἄβατον ἱερὸν ἀγνοήσασαν τ νόμον· ὑπὸ δὲ τῶ ἰδίω υἱῶ διωκομένην καὶ τ Αρκάδων, καὶ ἀναιρεῖσθαι μέλλουσαν ὑφὸ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς ὑφ' τὴν συγγένειαν αὐτὴν ἐξείλετο, καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν· Αρκτον δὲ αὐτὴν ἀνόμασε ὑφὸ τὸ συμβεβηκὸς αὐτῇ σύμπτωμα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ζ' ἀμαυρούς, ἐφ' ἑκατέρων ὤπιον β'. ἐπ' ὠμοπλάτων λαμπρὸν α'. ἐπὶ τῶ ἤθους β'. ἐπὶ τῆς ῥάχεως λαμπρὸν α'. σκέλεσιν (ἐμπροσθίοις β'.) ὀπισθίοις β'. ἐπ' ἄκρῳ τῷ ποδὶ β'. ἐπὶ τῆς κέρκω γ'. τοὺς πάντας κθ'.

Αρκτος ἡ Μικρά.

ΑΥτη ἐστὶν ἡ μικρὰ καλουμένη, προσηγορεύθη δὲ ὑπὸ τ πολιτῶν Φοινίκη, ἐπιμήθη δὲ ὑπό τ Αρτέμιδος· γνῶσι δὲ ὅτι ὁ Ζεὺς αὐτὴν ἔφθειρεν, ἠρίωσεν αὐτήν· ὕστερον δὲ σεσωσμένην λέγει δόξαν αὐτῇ θεὸν εἶναι, ἀνιδρυθεῖσαν ἕτερον εἴδωλον ἐν τοῖς ἄστροις, ὥστε διοσκὰς ἔχειν πομπός. Αγλαοσθένης δὲ ἐν τοῖς Ναξιακοῖς φησι τροφὸν γενέσθαι τοῦ Διὸς κυνόσουραν, εἶναι δὲ μίαν τ Ιδαίων νυμφῶν, ἀφ' ἧς ἐν μὲν τῇ πόλει τῇ καλουμένῃ Ιστοῖς, τέμενος τοῦτο εἶναι, ἣν οἱ μὲν Νικόστρατον ἔκτισαν, καὶ τ ἐν αὐτῇ δὲ λιμένα, καὶ τ ἐπ' αὐτῇ τόπον Κυνόσουραν κληθῆναι. Αρατος δὲ αὐτὴν καλεῖ Ελίκην ἐκ Κρήτης οὖσαν, γενέσθαι δὲ Διὸς τροφὸν, καὶ διὰ τοῦτο ἐν ἀστροις τιμῆς ἀξιωθῆναι. ἔχει δὲ ἀστέρας ἐπὶ μὲν ἑκάστης γωνίας τῶ τετραπλεύρου λαμπρὸν α'. ἐπὶ δὲ τῶ κέρκω λαμπροὺς γ'. τοὺς πάντας ζ'. ὑπὸ δὲ τ ἕτερον τ ἡγεμόνων κατώτερός ἐστιν ἄλλος ἀστὴρ, ὃς καλεῖται πόλος, φερὸν ὃ δοκεῖ ὁ πόλος τρέφεσθαι.

Δράκων.

ΟΥτός ἐστιν ὁ μέσας τε καὶ δι' ἀμφοτέρων τ ἄρκτων κείμενος· λέγεται δὲ εἶναι ὁ τὰ χρύσεα μῆλα φυλάσσων, ὑπὸ δὲ Ηρακλέους ἀναιρεθεὶς, ὃν καὶ ἐν τοῖς ἄστροις παίζις ἐδόθη δι' Ηραν, ἣ κατέστησεν αὐτὸν ἐπὶ Εσπέρας φύλακα τῶν μήλων. Φερεκύδης γάρ φησιν, ὅτε ἐγαμεῖτο ἡ Ηρα ὑπὸ Διὸς, φερόντων αὐτῇ τ Θεῶν δῶρα, τὴν Γῆν ἐλθεῖν φέρουσαν τὰ χρύσεα μῆλα· ἰδοῦσαν δὲ τὴν Ηραν θαυμάσαι καὶ εἰπεῖν καταφυτεῦσαι εἰς τ τῶν θεῶν κῆ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

πον, ὃς ἦν παρὰ τῷ Ατλαντι. ὑπὸ δὲ τὸ σκέλος παρθένων ἀεὶ ὑφαρπαζομένων τὰ μῆλα, καπέσησε φύλακα τὸν ὄφιν ὑπερμεγέθη ὄντα. μέσσων δὲ ἔχει σημεῖον· ἐπίκειται δὲ αὐτῷ Ηρακλέης εἴδωλον, ὑπόμνημα τοῦ ἀγῶνος Διὸς ἥντος συναγέσαντα τὴν χειμαρροποιΐα. ἔχει δὲ ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς λαμπροὺς γ'. ἐπὶ δὲ τοῦ σώματος ἕως τῆς κέρκης ιβ'. παραπλησίως ἀλλήλοις, διεσὼς δὲ διὰ τῶν ἄρκτων. (τοὺς πάντας ιε'.)

Ὁ ἐν Γόνασιν.

Οὗτός φασιν Ηρακλῆς ἐστιν ὁ ἐπὶ τοῦ ὄφεως βεβηκὼς, συναρπάσας δὲ ἕσπερ τὸ τερόπαιον ἀνατεταμένως, ἐπὶ τὴν λεοντῆν πεπτωκυῖαν. λέγεται δὲ ὅτε ἐπὶ τὰ χρύσεα μῆλα ἐπορεύθη, τὸν ὄφιν τὸν τεταγμένον φύλακα ἀνελεῖν. ἦν δὲ ὑπὸ Ηρας διὰ αὐτὸ τοῦτο τεταγμένος, ὅπως ἀνταγωνίζηται τῷ Ηρακλεῖ· ὅθεν ἐπιτελεσθέντος τοῦ ἔργου μετὰ κινδύνου, ἄξιον ὁ Ζεὺς κρίνας τὸν ἆθλον μνήμης, ἐν τοῖς ἄστροις ἔθηκε τὸ εἴδωλον. ἔστι δὲ ὁ μὲν ὄφις μετέωρον ἔχων τὴν κεφαλὴν, ὁ δὲ ἐπιβεβηκὼς αὐτῷ, πεπτωκὼς τὸ ἕν γόνυ, τῷ δὲ ἑτέρῳ ποδὶ ἐπὶ τὴν κεφαλὴν ἐπιβαίνων, τὴν δὲ δεξιὰν χεῖρα ἐκτεινόμενον, ἐν ᾗ τὸ ῥόπαλον ὡς πάσσων, τῇ δὲ εὐωνύμῳ χειρὶ τὴν λεοντῆν περιβεβλημένος. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α'. βραχίονος δεξιοῦ λαμπρὸν α'. ἐφ' ἑκατέρων ὤμων λαμπρὸν α'. ἄκρας χειρὸς α'. ἐφ' ἑκατέρας λαγόνος α'. λαμπρότερον δὲ τὸν ἐπὶ τοῦ ἀριστεροῦ· δεξιοῦ μηροῦ β'. γόνατος α'. κνήμης α'. κνήμης β'. ποδὸς α'. ὑπὲρ τὴν δεξιὰν χεῖρα α'. ὃς καλεῖται ῥόπαλον, ἐπὶ τῆς λεοντῆς δ'. τοὺς πάντας ιδ'.

Στέφανος.

Οὗτος λέγεται ὁ τῆς Αριάδνης. Διόνυσος δὲ αὐτὸν εἰς τὰ ἄστρα ἔθηκεν, ὅτε τοὺς γάμους οἱ θεοὶ ἐν τῇ καλουμένῃ Δίᾳ ἐποίησαν, ᾧ πρώτῳ ἡ νύμφη ἐστεφανώσατο παρὰ Ωρῶν λαβοῦσα καὶ Αφροδίτης. Ηφαίστου δὲ ἔργον εἶναί φασιν, ἐκ χρυσοῦ πυρώδους καὶ λίθων Ινδικῶν. Ισορεῖται δὲ ὁ Διὰ τοῦτο τὸ Θησέα σεσῶσθαι ἐκ τοῦ λαβυρίνθου φέροντος ποιοῦντος. φασὶ καὶ τὸ πλόκαμον τούτης εἶναι τὸ φαινόμενον ἐπὶ τῆς κέρκης τοῦ λέοντος. ἔχει δὲ ἀστέρας ὁ στέφανος ἐννέα κύκλῳ κειμένους, ὧν εἰσι λαμπροὶ οἱ κατὰ τὸν κεφαλὸν τοῦ ὄφεως τοῦ Διὰ τὸ Αρκτου.

Οφιοῦχος.

Οὗτός ἐστιν ὁ ἐπὶ σκορπίου ἑστηκὼς, ἔχων ἐν ἀμφοτέραις χερσὶ τὸν ὄφιν. λέγεται δὲ εἶναι Ασκληπιὸς, ὃν Ζεὺς χαριζόμενος Απόλλωνι εἰς τὰ ἄστρα ἀνήγαγε· τοῦτον τέχνῃ ἰατρικῇ χρώμενον, ὡς καὶ τοὺς ἤδη τεθνηκότας ἐγείρειν· ἐν οἷς καὶ Ιππόλυτον ἔκαμον τοῦ Θησέως. καὶ τῶν θεῶν δυσχερῶς τοῦτο φερόντων, εἰ μὴ λιμὸς κατελυθήσονται αὐτῶν, τηλικαῦτα ἔργα Ασκληπιοῦ ἐπιτελοῦντος· λέγεται τὸν Δία ὀργισθέντα κεραυνοβολῆσαι τὸν οἰκεῖον αὐτοῦ, εἶτα Διὰ τὸν Απόλλωνα τοῦτον εἰς τὰ ἄστρα ἀναγαγεῖν. ἔχει δὲ ἐπιφάνειαν ἱκανῶς ἐπὶ τοῦ μεγίστου ἄστρου, λέγω δὴ τοῦ σκορπίου, δυσήμῳ τῷ τύπῳ φαινόμενον. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπροὺς α'. ἐφ' ἑκατέρων

Digitized by INTERNET ARCHIVE Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j Public Domain / http://www.hathitrust.org/access_use#pd

ρων ὤμων λαμπρὸν α΄. ἐπὶ τῆς δεξιᾶς χειρὸς γ΄. ἐπὶ τ̃ ἀριστερᾶς δ΄. ἐφ' ἑκατέρων ἰσχίων α΄. ἐφ' ἑκατέρων γονάτων α΄. τ̃ ἐπὶ τ̃ δεξιᾶ (ποδὸς) λαμπρὸν α΄. τ̃ δὲ ὄφεως ἐπ' ἄκρας κεφαλῆς β΄. τὰς πάντας ιζ΄.

Σκορπίος.

Οὗτος διὰ τὸ μέγεθος εἰς δύο δωδεκατημόρια διαιρεῖται· καὶ τὸ μὲν ἑπέχουσιν αἱ χηλαί, θάτερον δὲ τὸ σῶμα καὶ τὸ κέντρον. τοῦτόν φασιν ἐποίησεν Ἄρτεμις ἀναθυμηθῆναι τῆς Κολώνης τ̃ Χίας νήσου, καὶ τ̃ Ὠρίωνα ὠλῆξαι, καὶ ὅτως ἀποθανεῖν, ἐπειδὴ συνηγεσίῳ ἀκήρυκτον αὐτὴν ἐδιάσατο· ὃν Ζεὺς συν τοῖς λαμπροῖς ἔθηκε τ̃ ἀστέρων, ἵν' εἴδωσιν οἱ ἐπιγινόμενοι ἄνθρωποι τὴν ἰσχύν τε αὐτοῦ καὶ τὴν δυύαμιν. ἔχει δὲ ἀστέρας ἐφ' ἑκατέρας χηλῆς δύο· ὧν εἰσιν οἱ μὲν πρῶτοι μεγάλοι, οἱ δὲ δεύτεροι ἀμαυροί· ἐπὶ δὲ τοῦ μετώπου λαμπροὺς γ΄. ἐπὶ τῆς κηλίδος β΄. ἐπὶ τῆς κέρκου ε΄. ἐπὶ τοῦ κέντρου δ΄. προηγεῖται μὲν αὐτοῖς πάντων φαεινότερος ὢν ὁ ἐπὶ τῆς βορείας χηλῆς λαμπρὸς ἀστήρ· (τὰς πάντας ιθ΄.)

Ἀρκτοφύλαξ.

Περὶ τούτου λέγεται, ὅτι Ἀρκὰς ἐστιν ὁ Καλλιστοῦς καὶ Διὸς γεγονώς, ὃν κατανοήσας Λυκάων, ἐξένισε τ̃ Δία παραθεὶς ἐπὶ τραπέζαν· ὅθεν ἐκεῖνον μὲν ἀνατρέπει, ἀφ' οὗ ἡ Τραπεζοῦς καλεῖται πόλις. τὴν δὲ οἰκίαν αὐτοῦ κεραυνοῖ τῆς ὠμότητος αὐτὸν μυσαχθείς, τ̃ δὲ Ἀρκάδα πάλιν συμπολάσας, ἔθηκεν ἄρκτον, καὶ συν τοῖς ἄστροις ἀνήγαγεν. ἔχει δὲ ἀστέρας ἐπὶ μὲν τῆς δεξιᾶς χειρὸς β΄. οἱ δ' ὤμοσιν· ἐπὶ δὲ τ̃ κεφαλῆς λαμπρὸν α΄. ἐφ' ἑκατέρων τ̃ ὤμων λαμπρὸν α΄. ἐπὶ τ̃ μασῶν ἑκατέρων α΄. λαμπρὸν τ̃ ἐπὶ τοῦ δεξιοῦ. ὑπ' αὐτὸν α΄. ἀμαυρόν· καὶ ἐπὶ τοῦ ἀγκῶνος λαμπρὸν α΄. ἀνὰ μέσον τ̃ γονάτων α΄. λαμπρότατον, ὃς δὴ Ἀρκτοῦρος καλεῖται· ἐφ' ἑκατέρῳ ποδὶ λαμπρὸν α΄. (τὰς πάντας ιθ΄.)

Παρθένος.

Ταύτην Ἡσίοδος μὲν θεογονίας εἰρηκε θυγατέρα Διὸς καὶ Θέμιδος, καλεῖσθαι δὲ αὐτὴν Δίκην· λέγει δὲ καὶ Ἄρατος παρὰ τούτου λαβὼν τὴν ἱστορίαν· ὡς ὅσον χρόνον ἀθάνατος, μετὰ τῆς γῆς συν τοῖς ἀνθρώποις ἦν, μετὰ ὅπου δίκην αὐτὴν ἐκάλεσν· μεταστάντων δὲ αὐτῶν, καὶ μηκέτι τὸ δίκαιον σωτηρούντων, οὐκέτι συν αὐτοῖς ἦν, ἀλλ' εἰς τὸν ὄρη ὑπεχώρει· εἶτα γάσεων καὶ πολέμων αὐτῆς ὄντων, διὰ τὴν παντελῆ αὐτῶν ἀδικίαν ἀπομισήσασαν, εἰς τ̃ οὐρανὸν ἀνελθεῖν. λέγουσι δὲ μετέρᾳ λόγῳ χρῆσαι αὐτῆς τοκῆσαι· οἱ μὲν γὰρ αὐτὴν φασιν εἶναι Δήμητραν διὰ τὸ ἔχειν στάχυν· οἱ δὲ Ἶσιν· οἱ δὲ Ἀπαργάντιον· οἱ δὲ Τύχην, διὸ καὶ ἀνέφαλον αὐτὴν σχηματίζουσιν. ἔχει δὲ ἀστέρας ἐπὶ τ̃ κεφαλῆς α΄. ἀμαυρόν· ἑκατέρῳ ὤμῳ α΄. πτέρυγι ἑκατέρᾳ β΄. ὁ δὲ ἐν τῇ δεξιᾷ πτέρυγι τοῦ τε ὤμου καὶ τοῦ ἄκρου τ̃ πτέρυγος, Προτρυγητὴρ καλεῖται. ἀγκῶνος ἑκατέρου α΄. χειρὸς ἄκρας ἑκατέρας α΄. ὁ δὲ ἐπὶ τ̃ δυωνύμου λαμπρὸς, καλεῖται στάχυς. ἐπὶ τ̃ πέζης τοῦ χιτῶνος ἀμαυροὺς ς΄. ἑκατέρου ποδὸς α΄. τὰς πάντας ιθ΄.

Δίδυ-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Δίδυμοι.

Οὗτοι λέγονται Διόσκουροι εἶναι, ἐν δὲ τῇ Λακωνικῇ τραφέντες ἐπιφάνειαν ἔσχον, φιλαδελφίᾳ δὲ ὑπερήνεγκαν πάντας· ὅτε γὰρ περὶ ἀρχῆς, ὅτε περὶ ἄλλου τινὸς ἤεισαν· μνήμιον δὲ αὐτῶν Ζεὺς θέσθαι βουλόμενος τὴν κοινότητα, διδύμους ὀνομάσας, εἰς τὸ αὐτὸ ἀμφοτέρους ἔσησεν ἐν τοῖς ἄστροις. ἔχουσι δὲ ἀστέρας, ὁ μὲν ἐποχούμενος τοῦ καρκίνου ἐπὶ τῆς κεφαλῆς α'. λαμπρὸν (ὤμου ἑκατέρου λαμπρὸν α'. δεξιᾶς ἀγκῶνος α'. ἐπὶ δεξιᾶς χειρὸς α'.) ἑκατέρῳ γόνατι α'. ὁ δεχόμενος ἔχει ἐπὶ τῆς κεφαλῆς ἕνα λαμπρόν, ἀριστερῷ ὤμῳ λαμπρὸν α'. ἐπὶ μασθῷ ἑκατέρῳ α'. ἀριστερᾶ ἀγκῶνος α'. ἄκρας χειρὸς α'. ἀριστερῷ γόνατι α'. ἑκατέρῳ ποδὶ α'. ὑπὸ τὸν ἀριστερὸν πόδα α'. ὃς καλεῖται πρόπους. (τὰς πάντας ιζ'.)

Καρκῖνος.

Οἱ καὶ Φάτνη.

Οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος, Ἡρακλεῖ τῷ ἄλλων συμμαχέντων, ὅτε τὸν Ὕδραν ἀνῄρει, ἐπὶ τὸν λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Παυσανίας ἐν Ἡρακλείᾳ· ἀμυνθεὶς δ' ὁ Ἡρακλῆς, δοκεῖ τῷ ποδὶ συνθλάσαι αὐτόν, ὅθεν μεγάλης τιμῆς τετύχηκε καταστερισμοῦ ἐν τοῖς ιβ'. ζωδίοις. καλοῦνται δέ τινες αὐτῶν ἀστέρες, ὄνοι, οὓς Διόνυσος ἀνήγαγεν εἰς τὰ ἄστρα. ἔστι δὲ αὐτοῖς ἡ φάτνη παρόμοιον, ἡ δὲ τούτων ἰσοστέλεια αὕτη.

Ὅτε ἐπὶ Γίγαντας ἐστρατεύοντο οἱ θεοί, λέγεται Διόνυσον καὶ Ἥφαιστον, καὶ Σατύρους ἐπὶ ὄνων πορεύεσθαι, ἅ πω δὲ ὡρωμένων αὐτοῖς τῶν γιγάντων, πλησίον ὄντες ὠγκήθησαν οἱ ὄνοι· οἱ δὲ γίγαντες ἀκούσαντες τὴν φωνῆς, ἔφυγον· διὸ ἐτιμήθησαν ἐν τῷ καρκίνῳ εἶναι ἐπὶ δυσμαῖς. ἔχει δὲ ὁ καρκῖνος ἐπὶ τοῦ ὀστράκου ἀστέρας λαμπροὺς δ'. οἵτοί εἰσιν οἱ ὄνοι· ὁ δὲ νεφέλιόν ἐστιν ἡ ἐν αὐτῷ ὡρωμένη φάτνη, παρ' ἣν δοκοῦσιν ἑστάναι. ἐπὶ τοῖς δεξιοῖς ποσὶν ἑφ' ἑκατέρῳ ἕνα λαμπρόν, ἐπὶ δὲ τοῖς ἀριστεροῖς τοῦ πρώτου β'. λαμπροὺς, καὶ ἐπὶ τοῦ δευτέρου, καὶ ἐπὶ τοῦ τρίτου, ὁμοίως ἐπ' ἄκρας αὐτοῦ πτέρυγος· ἐπὶ τοῦ στόματος ἐπὶ τῆς χηλῆς τῆς δεξιᾶς γ'. ὁμοίως μεγάλους ἐπὶ τῆς ἀριστερᾶς χηλῆς (δ'.) οἱ πάντες ιζ'.

Λέων.

Οὗτός ἐστι μία τῶν ἐπιφανῶν ἀστέρων· δοκεῖ δ' ὑπὸ Διὸς ὑμνηθῆναι τοῦτο τὸ ζῴδιον Δι' ὃ τῶν τετραπόδων ἡγεῖται. τινὲς δέ φασιν, ὅτι Ἡρακλέους πρῶτος ἆθλος ὑπὲρ τοῦ μνημονευθῆναι, φιλοδοξῶν γὰρ μόνον τοῦτον ἐκ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπολακεῖς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος ὁ Ῥόδιος, ὅτι καὶ τὴν δορὰν αὐτοῦ ἔχειν ὡς ἔνδοξον πεποιηκώς· ἔστι δὲ ὁ ἐν τῇ Νεμέᾳ ὑπ' αὐτοῦ φονευθείς. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς γ'. ἐπὶ δὲ τῆς δεξιᾶς ποδὸς λαμπρὸν α'. ἐπὶ μέσης (ἡλίκας) α'. ὑπὸ τὸν ἡλίκιον α'. ἐπὶ δὲ ἰσχίου α'. ἐπὶ δὲ ὀπισθίου γόνατος α'. ποδὸς ἄκρου

Digitized by INTERNET ARCHIVE. Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

κρυ λαμπρὸν ἀ. ἐπὶ τῆ ταραχήλυ β. ἐπὶ τῆς ῥάχεως γ. ἐπὶ μέσης τῆς κέρκυ ἀ. ἐπ' ἄκρας λαμπρὸν ἀ. ἐπὶ τῆς ηιλίας, ἀ, ὁρῶν) δὲ ὑπὲρ αὐτὸν ἐν τριγώνῳ κατὰ τὸν κέρκον ἀμαυρὸν ἕπλα, οἱ καλοῦνται πλόκαμοι Βερενίκης Εὐεργέτου (τὰς πάντας ιδ'.)

Ηνίοχος.

Οὗτός ἐστιν Ερεχθόνιος ἐξ Ηφαίστυ καὶ Γῆς γεγόμενος· τοῦτον λέγουσιν, ὅτε ὁ Ζεὺς εἶδεν πτῶσιν ἐν ἀνθρώποις ἅρμα ζεύξαντα ἵππων, θαυμάσαι, ὅτι τῇ τοῦ ἡλίου ἀντιμιμον ἐποιήσατο διφρείαν, ὑποζεύξας ἵππους λευκούς· πτῶτόν τε Αθηνᾶ πομπὸν ἤγαγεν ἐν ἀκροπόλει· καὶ ἐποιήσατο θεὸν τούτοις ἐπιφανῆ τὴν θυσίαν αὐτοῦ σεμνύων. λέγει δὲ καὶ Εὐριπίδης περὶ τῆς γενέσεως αὐτοῦ τὸν τρόπον τοῦτον, Ηφαιστον ἐρασθέντα Αθηνᾶς, βίαλεσθαι αὐτῆς μιγῆναι· τῆς δὲ ἀποστρεφομένης, καὶ τὴν παρθενίαν μᾶλλον αἰσχυνομένης, ἔν τινι τόπῳ τῆς Αττικῆς κρύπτεσθαι, ὃν λέγουσι καὶ ἀπ' ἐκείνου περισπασθῆναι Ηφαιστον, ὡς δόξας αὐτὴν κρατήσειν καὶ ἐπιθέμενον, ἀπολυγεῖς ὑπ' αὐτῆς τῷ δόρατι, ἀφῆκε τὴν ἐπιθυμίαν, φερομένης εἰς τὴν γῆν τῆς σπορᾶς, ἐξ ἧς γεγενῆσθαι λέγουσι παῖδα, ὃς ὑπὸ τούτου Ερεχθόνιος ἐκλήθη· καὶ αὐξηθεὶς τὸν δύρε, καὶ ἐθαυμάσθη ἀγωνιστὴς γενόμενος. ἤγαγε δὲ ἐπιμελῶς τὰ Παναθήναια, καὶ ἅρμα Ηνίοχον ἔχων παραβάτην ἀπίθιον ἔσχεν, καὶ τριλοφίαν ἐπὶ τῆς κεφαλῆς ἀπ' ἐκείνου δὲ καὶ μίμησιν ὁ καλούμενος ἀποβάτης· ἐχημάτισεν δ' ἐν τούτῳ ἡ αὐξ καὶ οἱ ἕλικες. Μουσῆς γάρ φησι Δία γεννώμενον, ἐγχειρισθῆναι ὑπὸ Ρέας Θέμιδι· Θέμιν δὲ Αμαλθείᾳ δοῦναι τὸ βρέφος, τὴν δὲ ἔχουσαν αἶγα ὑποθεῖναι, τὴν δ' ἀπατήσαι Δία· τὴν δὲ αἶγα εἶναι ἡλίου θυγατέρα Φοβερὸν ὄντως, ὥστε τοὺς κατὰ Κρόνον θεοὺς βδελυττομένους τὴν μορφὴν τοῦ παιδός, ἀξιῶσαι γῆν κρύψαι αὐτὴν ἔν τινι τῶν κατὰ Κρήτην ἄντρων. καὶ ἀποκρυψαμένην ἐπιμέλειαν αὐτῆς τῇ Αμαλθείᾳ ἐγχειρίσαι, τὴν δὲ τοῦ ἐκείνης γάλακτι τὸν Δία ἀπατήσαι· ἐλθόντος δὲ τοῦ παιδὸς εἰς ἡλικίαν, καὶ μέλλοντος γίγασι πολεμεῖν, ἀχ ἔχοντος δὲ ὅπλα, θεασθῆναι αὐτῷ τὸ αἰγὸς τῇ δορᾷ ὅπλον χρήσασθαι, ἀφ' οὗ τὸ ἄτρωτον αὐτὸς καὶ φοβερὸν, καὶ ἀφ' οὗ τὸ εἰς μέσην τὴν ῥῶχα γεγενῆσθαι πρόσωπον ἔχειν· ποιήσαντος δὲ ταῦτα τὸν Διὸς, καὶ τῇ τέχνῃ φανέντος διάλασιον, τὰ ὀστᾶ δὲ τοῦ αἰγὸς καλύψαντος ἄλλῃ δορᾷ, καὶ ἔμψυχον αὐτὴν καὶ ἀθάνατον κατασκευάσαντος, αὐτὴν μέν φασιν ἄστρον ἀρράγιον κατασκευάσαι. τινὲς δέ φασι Μυρτίλον ὀνόματι τὸν ἡνίοχον εἶναι τὸν ἐξ Ερμοῦ γεγονότα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ἀ. ἐφ' ἑκατέρων τῶν ὤμων ἀ. ὧν τὸν μὲν ἐπὶ τοῦ ἀριστεροῦ λαμπρὸν, ὃς καλεῖται αἴξ. ἐφ' ἑκατέρᾳ ἀγκῶνος ἀ. (ὁ δὲ ἐξιᾶς χειρὸς ἀ.) ἀριστερᾶς χειρὸς β. οἱ δὲ καλοῦνται ἕλικες· τοὺς πάντας ὀκτώ.

Ταῦρος.

Οὗτος λέγεται ὑπὸ τοῖς ἄστροις πεσεῖν, ἀφ' οὗ Εὐρώπην ἀγαγεῖν ὁ Φοινίκης εἰς Κρήτην, ἀφ' οὗ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ· χάρειν δὲ τοῦτον ἐν τοῖς ἐπιφανεστάτοις ἐστὶν ὑπὸ Διὸς τιμηθέντος. ἕτεροι δέ φασι βοῦν εἶναι τὸν Ἰοῦς μίμημα, χάρειν δὲ ἐκείνης ὑπὸ Διὸς ἐπιτηθὲν τὸ ἄστρον. τοῦ δὲ ταύρου τὸ μέτωπον σὺν τοῖς προσώποις αἱ ὑάδες καλούμεναι

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

περὶ ἔχουσι, πρὸς δὲ τῇ ἀποδομῇ τ῀ ῥάχεως, ἡ πλειὰς ἐστιν ἀστέρας ἔχουσα ἐπτὰ, διὸ καὶ ἐπτάστερος καλεῖται. ὀχ ὁρῶν δὲ εἰμὴ ἓξ, ὁ δὲ ἕβδομος ἀμαυρός ἐστι σφόδρα. ἔχει δὲ ταῦρος ἀστέρας ζ'. ὃς δὲ ὑπεναντία ἕρπει καθ' ἑαυτὸν ἔχων τὴν κεφαλήν· ἐφ' ἑκατέρων δὲ τ῀ κεράτων ἐπὶ τ῀ σκέφους α'. ὧν λαμπρότερος ὁ ἐπὶ τ῀ ἀριστεροῦς· ἐφ' ἑκατέρων τ῀ ὀφθαλμῶν α'. ἐπὶ τ῀ μυκτῆρος α'. ἐφ' ἑκατέρων τ῀ ὤμων, α'. ἅτινες ὑάδες λέγονται, ἐπὶ δὲ τ῀ ἀριστεροῦ γόνατος ξ ἐμπεφθάκασι α'. ἐπὶ τῶν χηλῶν α'. ἐπὶ ξ δεξιοῦ γόνατος α'. ἐπὶ τραχήλου β'. ἐπὶ τ῀ ῥάχεως γ'. τ῀ ἔχατον λαμπρὸν, ὑπὸ τὴν κροιλίαν ἕνα. ἐπὶ τ῀ ἡνίου λαμπρὸν α'. τὰς πάντας ιή.

Κηφεύς.

Οὗτος σὺν πόδει τέτακται τέταρτος, ὁ δ' ἀρκτικὸς κύκλος αὐτὸν ἀπολαμβάνει ἀπὸ ποδῶν ἕως ἡνίου, ὁ δὲ λοιπὸν εἰς τὸ ἀνὰ μέσον πίπτει αὐτοῦ, τ῀ τε ἀρκτικ῀ καὶ θερινοῦ τροπικοῦ. ἦν δὲ ὡς Εὐριπίδης φησὶν, Αἰθιόπων βασιλεύς, Ἀνδρομέδας δὲ πατὴρ, τὴν δ' αὐτοῦ θυγατέρα δοκεῖ περιφθεῖναι τῷ κήτει βορᾷ, ἣν Περσεὺς ὁ Διὸς διέσωσε, δι' ἣν καὶ αὐτὸς σὺν θεοῖς ἄστροις ἐτέθη, Ἀθηνᾶς γνώμῃ. ἔχει δ' ἀστέρας ἐπὶ τ῀ κεφαλῆς λαμπροὺς β'. ἐφ' ἑκατέρων ὤμων α'. καὶ χειρῶν ἑκατέρων α'. ἀγκώνων ἑκατέρων α'. ζώνης γ'. λοξοὺς ἀμαυρούς. κροιλίας μέσης λαμπρὸν α'. δεξιᾶς λαπάρου, α'. γόνατος α'. ποδὸς ἄκρου α'. (τὰς πάντας ιέ.)

Κασσιέπεια.

Τ῀ Αὐτὴν ἱστορεῖ Σοφοκλῆς ὁ τ῀ τραγῳδίας ποιητὴς σὺν Ἀνδρομέδᾳ ἐρίσασαν περὶ κάλλους τῶν Νηρηΐσιν, εἰσελθεῖν εἰς τὸ σύμπλωμα, καὶ Ποσειδῶνα Διαφθεῖραι τὴν χώραν, κἄπως ἐπιπέμψαντα, δι' ἣν (αἰτίαν) πράσσει τῷ κήτει ἡ θυγάτηρ οἰκείως· ἐχημάτισται δὲ ἐγγὺς ἐπὶ δίφρου καθημένη. ἔχει δ' ἀστέρας ἐπὶ τ῀ κεφαλῆς λαμπροὺς α'. ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος ἀμαυρὸν α'. ἐπὶ τ῀ χέρος α'. γόνατος α'. ποδὸς ἄκρου α'. ἡνίου α'. ἀμαυρόν. ἀριστερᾶς μηροῦ λαμπρὸν α'. γόνατος α'. λαμπρόν· ἐπὶ τοῦ πλινθίου α'. τοῦ δίφρου δ' καθ' ἓν ἑκάστης γωνίας α'. (τὰς πάντας ιγ'.)

Ανδρομέδα.

Αὕτη κεῖται σὺν τοῖς ἄστροις, διὰ τὸν Αθηνᾶν τῶν Περσέως ἄθλων ὑπόμνημα, διαπεπαμμένη ταῖς χεῖρας, ὡς καὶ πεποιήται τῷ κήτει· ἀνθ' ὧν σωθεῖσα ὑπὸ τοῦ Περσέως, οὐκ εἵλετο τῷ πατρὶ συμμένειν, οὐδὲ τῇ μητρὶ, ἀλλ' αὐθαίρετος εἰς τὸ Αργος ἀπῆλθε μετ' ἐκείνου, οὓς ἡμύνεσι φρονήσασα. λέγει δὲ καὶ Εὐριπίδης σαφῶς ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι. ἔχει δὲ ἀστέρας ἐπὶ τ῀ κεφαλῆς λαμπροὺς α'. ἐφ' ἑκατέρου ὤμου α'. δεξιοῦ ποδὸς β'. ἀριστεροῦ α'. ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α'. ἐπ' ἄκρας τ῀ χειρὸς λαμπρὸν α'. ἐπὶ τ῀ ζώνης γ'. ὑπὸ τὴν ζώνην λ'. ἐφ' ἑκατέρου γόνατος λαμπρὸν α'. ἐπὶ τοῦ δεξιοῦ ποδὸς α'. ἐπὶ τοῦ ἀριστεροῦ β'. (τὰς πάντας κ'.)

Ιππος.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ιππος.

Τοῦτο μὲν τὸ ἔμπροσθεν φαίνεται ἕως ὀμφαλοῦ. Ἄρατος μὲν οὖν φησι τὸν ἐπὶ τοῦ Ἑλικῶνος εἶναι ποιήσαντα κρήνην τῇ ὁπλῇ, ἀφ' ἧς καλεῖσθαι Ἱπποκρήνην. ἄλλοι δὲ τὸ πήγασον εἶναί φασι τὸ εἰς τὰ ἄστρα ἀναπτάντα, ὕστερον τοῦ Βελλεροφόντου πλώσεως, ἀφ' οὗ δὲ μὴ ἔχειν πτέρυγας, ἀπίθανον δοκεῖ λίαν ποιεῖν τὸν λόγον. Εὐριπίδης δὲ φησι Μελανίππην εἶναι τὴν τοῦ Χείρωνος θυγατέρα, ὑφ' Αἰόλου δὲ ἀπατηθεῖσαν φθαρῆναι, καὶ ἀφ' οὗ τὸν ὄγκον τοῦ γαστρὸς φυγεῖν εἰς τὰ ὄρη· κἀκεῖ ὠδινούσης αὐτῆς τὸν πατέρα ἐλθεῖν καὶ ζήτησιν, τὴν δ' ὕξαλον καταλαμβανομένην, πρὸς τὸ μὴ γνωσθῆναι, μεταμορφωθῆναι, καὶ γενέσθαι ἵππον. ἀφ' ἧς τὴν δυσέβειαν αὐτῆς τε καὶ τοῦ πατρὸς, ὑφ' Ἀρτέμιδος εἰς τὰ ἄστρα τεθῆναι, ὅθεν τῷ Κενταύρῳ ἐχ ὁρατή ἐστι, Χείρων γὰρ λέγεται εἶναι ἐκεῖνος· τὰ δὲ ὀπίσθια μέρη αὐτῆς ἀφανῆ ἐστι πρὸς τὸ μὴ γινώσκεσθαι ἡλίκαν ἔσαν. ἔχει δὲ ἀστέρας ἐπὶ τοῦ προσώπου β'. ἀμαυρούς, ἐπὶ τῆς κεφαλῆς α'. ἐπὶ τοῦ στόματος α'. ἐφ' ἑκατέρῳ ὠτίῳ ἀμαυρὸν α'. τῷ τραχήλῳ ο'. ὧν τὸν πρὸς τῇ κεφαλῇ λαμπρότερον· ἐπὶ τοῦ ὤμου α'. στήθους α'. ῥάχεως α'. ὀμφαλοῦ ἔχων λαμπρὸν α'. ἐμπροσθίων γονάτων β'. ἐφ' ἑκατέρας ὠλῆς α'. (τὰς πάντας ιή'.)

Κριός.

Οὗτος ὁ Φρίξον διακομίσας καὶ Ἕλλην· ἄφικτο δὲ ὢν, ἐδόθη αὐτοῖς ὑπὸ Νεφέλης τῆς μητρός. εἶχε δὲ χρυσῆν δορὰν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασι· διακομίζων δ' αὐτὸς καὶ τὸ στενόζαιγον τοῦ πελάγους τοῦ ἀπ' ἐκείνης κληθέντος Ἑλλησπόντου, ἔρριψεν αὐτὴν καὶ τὸ κέρας ἀπολέσας· Ποσειδὼν δὲ σώσας τὴν Ἕλλην, καὶ μιχθεὶς, ἐγέννησεν ἐξ αὐτῆς παῖδα ὀνόματι Παίωνα· τὸν δὲ Φρίξον εἰς τὸν Εὔξεινον πόντον σωθέντα πρὸς Αἰήτην διεκόμισεν, ᾧ καὶ ὁ Διὸς ἔδωκε τὴν χρυσῆν δορὰν, ὅπως μνημόσυνον ἔχῃ, αὐτὸς δὲ εἰς τὰ ἄστρα ἀπῆλθεν, ὅθεν ἀμαυρότερον φαίνεται. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς α'. ἐπὶ τῶν μυκτήρων γ'. ἐπὶ τοῦ τραχήλου β'. ἄκρου ἐμπροσθίου ποδὸς λαμπρὸν α'. ῥάχεως ο'. κέρκου α'. ὑπὸ τὴν κοιλίαν γ'. ἐπὶ τοῦ ἰσχίου α'. ἐπ' ἄκρου (ἑκατέρου) ὀπισθίου ποδὸς α'. τὰς πάντας ιή'.

Δελτωτόν.

Τοῦτό ἐστι τὸ μὲν τὴν κεφαλὴν τοῦ κριοῦ κείμενον· λέγεται δὲ ἐκεῖνον ἀμαυρότερον εἶναι, σύσημον δὲ τὸ γράμμα ἐπ' αὐτοῦ κεῖσθαι ἀπὸ Διὸς πρώτου ἐρμηνευθέντος, ὃς τὴν διάθεσιν τῶν ἄστρων ἐποιήσατο. Φασὶ δέ τινες καὶ τὴν τοῦ Αἰγύπτου θέσιν, ἐκ τοῦ ἐν τοῖς ἄστροις εἶναι τριγώνου, καὶ τὸν Νεῖλον τοιαύτην ῥοιοχὴν ποιήσασθαι τὴν χώραν, ἅμα τὴν ἀσφάλειαν αὐτῇ προερίζομενον, εἰς δὲ τὸν πόρον σύμμετρότερον ποιούμενον, καὶ εἰς τὴν τῶν καρπῶν ἀνακομιδὴν εὐχρειαν ὡρῶν ἐσόμενον. ἔχει δ' ἀστέρας γ'. ἐφ' ἑκάστῃ τῶν γωνιῶν λαμπρούς.

Ιχθύες.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Ιχθύες.

Οὗτοί εἰσι τοῦ μεγάλου ἰχθύος ἔκγονοι, οἱ ἐπὶ τὴν ἰσημερίαν ἀποδύσομαι σαφέστερον, ὅταν ἐπ' αὐτοὺς ἔλθωμεν. τούτων δὲ ἑκάτερος κεῖται ἐν ἑκατέρῳ μέρει Διαλάσεως· ὁ μὲν βόρειος, ὁ δὲ νότιος καλεῖται. ἔχουσι δὲ συνδέσμον ἐκ τοῦ ἐμπροσθίου ποδὸς τοῦ κριοῦ. ἔχει δὲ ἀστέρας ὁ μὲν βόρειος ιβ'. ὁ δὲ νότιος ιε'. ᾧ δὲ λίνον αὐτῶν ᾧ συνέχονται, ἔχει ἀστέρας ἐπὶ τοῦ βορείου γ'. ἐπὶ τοῦ νοτίου γ'. πρὸς ἀνατολὰς γ'. ἐπὶ τοῦ συνδέσμου γ'. οἱ πάντες τῶν β'. ἰχθύων καὶ τοῦ συνδέσμου ἀστέρες λθ'.

Περσεύς.

Περὶ τούτου ἱστοροῦσι, ὅτι ἐν τοῖς ἄστροις ἐτέθη Διὰ τὴν δόξαν, τῆς Δανάης ὡς χρυσὸς μιγεὶς ὁ Ζεὺς ἐγκύησεν αὐτὴν, ὑπὸ δὲ τοῦ Πολυδέκτου ἐπέμφθη εἰς Γοργόνας, τήν τε κωλῆν ἔλαβε παρ' Ἑρμοῦ καὶ τὰ πέδιλα, ἐν οἷς Διὰ τοῦ ἀέρος ἐποιεῖτο τὴν πορείαν· δοκεῖ δὲ ὁ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φόρκυσί φησιν ὁ τῶν τραγῳδῶν ποιητής. Φορκίδας Γραίας εἶχον ᾗ φύλακας αἱ Γοργόνες, αὗται δὲ ἕνα εἶχον ὀφθαλμὸν, καὶ τοῦτον ἀλλήλαις ἐδίδοσαν κατὰ φυλακήν. τηρήσας οὖν ὁ Περσεὺς ἐν τῇ παραδόσει, λαβὼν ἔρριψεν αὐτὸν εἰς τὴν Τριτωνίδα λίμνην, καὶ ἔτος ἐλθὼν ἐπὶ τὰς γοργόνας ὑπνωκυίας, ἀφείλετο τῆς Μεδούσης τὴν κεφαλὴν, ἣν ἡ Ἀθηνᾶ ᾗ τῷ σάκει ἔθηκεν αὐτῆς· τῷ δὲ Περσεῖ, τὴν ᾗ τὰ ἄστρα θέσιν ἐποίησεν, ὅθεν ἔχων θεωρεῖται, καὶ τὴν Γοργόνος κεφαλήν. ἔχει δὲ ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς α'. ἐφ' ἑκατέρῳ ὤμῳ λαμπρὸν α'. ἐπ' ἄκρας τῆς δεξιᾶς χειρὸς λαμπρὸν α'. ἀγκῶνος α'. ἄκρας χειρὸς ἀριστερᾶς α'. ἐν ᾗ τῷ κεφαλὴν δοκεῖ τῆς Γοργόνος ἔχειν. (τῆς κοιλίας α'.) δεξιᾶ μηρᾶ λαμπρὸν α'. γόνατος (ἑκατέρου) α'. ἀντικνημίδι (ἑκατέρου) α'. (ποδὸς α'. ἀμαυρὸν) ᾗ τὰς Γοργόνος πλανήμενος γ'. ἡ δὲ κεφαλὴ καὶ ἡ ἅρπη ἄνασρος ὁρῶνται, Διὰ δὲ νεφελώδους συσροφῆς δοκεῖ πᾶσιν ὁρᾶσθαι. (τὰς πάντας ιε'.)

Πλειάς.

Ἐπὶ τῆς ὀπισθίας τοῦ ταύρου τῆς καλουμένης ῥάχεως πλειάς ἐστιν, συνηγμένη δι' αὐτῆς εἰς ἀστέρας ζ'. λέγουσιν εἶναι τῆς Ατλαντος θυγατέρων, διὸ καὶ ἑπτάστερον καλεῖται· ἐκ ὁρῶνται δὲ αἱ ζ'. ἀλλ' αἱ ς'. τὸ δὲ αἴτιον ἔτσι πως λέγεται. Οἱ μὲν γὰρ φασι θεοῖς μιγῆναι, τὴν δὲ μίαν θνητῷ· τρεῖς μὲν οὖν μιγῆναι Διὶ Ηλέκτραν, ἐξ ἧς Δάρδανος, Μαῖαν ἐξ ἧς Ερμῆς, Ταϋγέτην, ἐξ ἧς Λακεδαίμων· Ποσειδῶνι δὲ δύο μιγῆναι, Αλκυόνην, ἐξ ἧς Υριεύς, Κελαινῶ, ἐξ ἧς Λεύκος· Στερόπη δὲ λέγεται Αρεϊ μιγῆναι, ἐξ ἧς Οινόμαος ἐγένετο. Μερόπη δὲ Σισύφῳ θνητῷ, διὸ παναφανὴς ἐστι· μεγίστην δὲ ἔχουσι δόξαν ἐν τοῖς ἀνθρώποις ἐπισημαίνουσαι καθ' ὥραν· θέσιν δὲ ἔχουσιν οὗ μάλα κείμεναι κατὰ τὸ Ιππαρχον, τριγωνοειδοῦς σχήματος.

Λύρα.

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Λύρα.

Αὕτη σὺν ἀετῷ κεῖται ἐν τοῖς ἄστροις, ἐστὶ δὲ μουσῶν· κατεσκευάσθη δὲ τὸ μὲν πρῶτον ὑπὸ Ἑρμοῦ ἐκ τῆς χελώνης, καὶ τῶν Ἀπόλλωνος βοῶν· ἔσχε δὲ χορδὰς ἑπτὰ ἀπὸ τῶν Ἀτλαντιδῶν. καταβαλὲ δὲ αὐτὴν Ἀπόλλων, καὶ σωφρονισάμενος ᾠδῇ, Ὀρφεῖ δέδωκεν· ὃς Καλλιόπης υἱὸς ὤν, μιᾶς τῶν μουσῶν, ἐποίησε τὰς χορδὰς σύνεα, ἀπὸ τῶν μουσῶν ἀφελησάμενος· θαυμάζων ἐπιτηδεύσαντα ἐν βίοις ἀνθρώποις δοξαζόμενος ἔτως, ὥστε καὶ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοιαύτην, ὅτι καὶ πτερὰς καὶ πτερύγια ἐκάλει διὰ τῆς ᾠδῆς· ὃς τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὸν ἑωθινὸν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον, προσέμενε τὰς ἀναγωγὰς, ἵνα ἴδῃ τὸν Ἥλιον προϊόντα. ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ, ἔπεμψε τὰς Βασσαρίδας, ὡς φησιν Αἰσχύλος ὁ ποιητὴς, αἵτινες αὐτὸν διέσπασαν, καὶ τὰ μέλη διέῤῥιψαν χωρὶς ἕκαστον· αἱ δὲ μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις· τὴν δὲ λύραν ἐκ ἔχουσαι ὅτῳ δώσωσιν, τὸν Δία ἠξίωσαν καταστερίζειν, ὅπως σημεῖόν τε καὶ αὐτῶν μνημόσυνον τεθῇ ἐν τοῖς ἄστροις. τὸν δὲ ἐπινοήσαντος, ἔτως ἐτέθη· ἐπισημοσίαν δ' ἔχει ἐπὶ τῷ σημείῳ συμπλοκὴν, δυομένη καθ' ὥραν. ἔχει δ' ἀστέρας ἐπὶ τῶν κεραιῶν ἑκατέρων α'. ἐφ' ἑκάστης πήχεος α'. ἀκροτηλίου ὁμοίως α'. ἐφ' ἑκατέρων ὤμων α'. ἐπὶ ζυγῷ α'. ἐπὶ τοῦ πυθμένος α'. λάμπει δὲ λαμπρῶς. τοὺς πάντας θ'.

Κύκνος.

Οὗτός ἐστιν (ὄρνις) ὁ καλούμενος μέγας, ὃν κύκνον εἰκάζουσι· λέγεται δὲ τὸν Δία ὁμοιωθέντα τῷ ζώῳ τούτῳ Νεμέσεως ἐραστὴν γενέσθαι, ἐπεὶ αὐτὴ πᾶσαν ἤμειβε μορφὴν, ἵνα τὴν παρθενίαν φυλάξῃ, καὶ τότε κύκνος γένηται· ἔτω καὶ αὐτὸν ὁμοιωθέντα τῷ ὄρνεῳ τούτῳ, καταπλῦναι εἰς Ῥαμνοῦντα τῆς Ἀττικῆς, κἀκεῖ τὴν Νέμεσιν φθεῖραι· τὴν δὲ τεκεῖν ᾠόν, ἐξ οὗ σκηλαφθῆναι καὶ γενέσθαι τὴν Ἑλένην, ὡς φησι Κρατῖνος ὁ ποιητὴς, καὶ διὰ τὸ μὴ μεταμορφωθῆναι αὐτὸν, ἀλλ' ἔτως ἀναπλῦναι εἰς τὸν οὐρανὸν, καὶ τὸν τύπον τοῦ κύκνου ἔθηκεν ἐν τοῖς ἄστροις· ἐστὶ δὲ ἱπτάμενος οἷος τότε λοῦ. ἔχει δ' ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς λαμπρὸν α'. ἐπὶ τοῦ τραχήλου λαμπρὸν α'. ἐπὶ τῆς δεξιᾶς πτέρυγος ε'. ἐπὶ τοῦ σώματος λ'. ἐπὶ τοῦ ὀρθοπυγίου α'. ὃς ἐστι μέγιστος. (τοὺς πάντας ιβ'.)

Ὑδροχόος.

Οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως ὑδροχόος, ἔχων ἃ ἔσπεισεν οἰνοχόῳ, καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ. λέγουσι δέ τινες αὐτὸν εἶναι τὸν Γανυμήδην, ἱκανὸν ὑπολαμβάνοντες σημεῖον εἶναι τὸ ἐχνηματίσθαι τὸ εἴδωλον ἔτως, ὡσπερεὶ οἰνοχόον τινά. ἐπαίρεται δὲ καὶ τὸν ποιητὴν μάρτυρα διὰ τὸ λέγειν αὐτὸν, ὡς ἀνεκομίσθη ἔτως παῖς τῷ Διὶ καλὸς ὑπερενέγκας ἵνα οἰνοχοῇ, ἄξιον κρίναντα αὐτὸν τῶν θεῶν· καὶ ὅτι πέπυσται ἀθανασίαν, τοῖς ἀνθρώποις ἄγνωστον ὄσαν· ἡ δὲ γενομένη ἔκχυσις εἰκάζεται τῇ νέκταρι, ὃ καὶ ὑπὸ τῶν θεῶν πίνεται, εἰς μαρτύριον (ὡς τινες λέγουσιν) τῆς εἰρημένης πόσε-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ως τ̃ θεῶν ὑπολαμβάνοντες τοῦτο εἶναι. ἔχει δ' ἀστέρας, ἐπὶ τῆς κεφαλῆς ἀμαυροὺς β'. ἐφ' ἑκατέρων ὤμων α'. ἀμφοτέρους μεγάλους. ἐφ' ἑκατέρῳ ἀγκῶνι α'. ἐπ' ἄκρας χειρὸς δεξιᾶς λαμπρὸν α'. ἐφ' ἑκατέρᾳ μασχ̃ α'. ὑπὸ τοὺς μασχ̃ς ἑκατέρωθεν α'. ἀριστερᾶ ἰσχίῳ α'. ἑκατέρᾳ γόνατος α'. δεξιᾶς κνήμης α'. ἑκατέρῳ ποδὶ α'. (τοὺς πάντας ιζ'.) ἡ δὲ ἔκχυσις τοῦ ὑδατός ἐστιν ἐξ ἀριστερῶν· ἔχουσι ἀστέρας (λ'.) μ̃ο'. οἵ εἰσι λαμπροί, (λοιποὶ δὲ ἀμαυροί.)

Πάν.

Οὗτός ἐστι τῷ εἴδει ὁμοίως τῷ αἰγίπανι, ἐξ οὗπερ δὲ γέγονεν· ἔχει δὲ θηρίου τὰ κάτω μέρη, καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐλιμήθη δὲ ὡς τὸ σωτρόφον εἶναι τοῦ Διί, καθάπερ Ἐπιμενίδης ὁ ὁ Κρητικὸς ἱστορῶν φησιν, ὅτι συνῆν τῇ Ἰδῃ συνεχῶς αὐτῷ, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν. ὅτι δὲ δεῖ δύρειν τὸ κύκλον, συνῳδὰ τοῖς συμμάχοις καθώπλισε, διὸ καὶ τὸ ἦχος παιωνικὸν καλέσθαι, ὃ οἱ Τιτᾶνες ἔφυγον. παραλαβὼν δὲ (ὁ Ζεὺς) πρῶτον ἀρχὴν συνοίκους αὐτὸν ἔθηκε, καὶ τὴν αἶγα τὴν μητέρα. διὸ δὲ τὸ κύκλον συνῆν θαλάττῃ, παρόσημον ἔχει ἰχθύν. ἔχει δ' ἀστέρας ἐφ' ἑκατέρᾳ κέρατος α'. λαμπρὸν ἐπὶ τῆς κεφαλῆς β'. τραχήλου γ'. ἡνίας ε'. ἐμπροσθίου ποδὸς α'. ῥάχεως ζ'. γαστρὸς ε'. ὠμου β'. λαμπροὺς, τοὺς πάντας κθ'.

Τοξότης.

Οὗτός ἐστιν ὁ τοξότης, ὃν οἱ πολλοὶ λέγουσι κένταυρον εἶναι· ἕτεροι δ' ὥ φασι, διὰ τὸ μὴ τετρασκελῆ αὐτὸν ὁρᾶσθαι, ἀλλ' ἐσηκῶται καὶ ὀρθούσθαι. κενταύρων δὲ ὑδεὶς ὀρθὸς κέχρηται, ὅτου δ' ἀνὴρ ὢν σκέλη ἔχει ἵππου, καὶ κέρκον καθάπερ οἱ Σάτυροι. διόπερ αὐτοῖς ἀπίθανον ἐδόκει εἶναι. ἀλλὰ μᾶλλον Κρόνον τὸν Εὐφήμης τοῦ μυθῶν ποιητοῦ υἱόν. οἰκεῖν δ' αὐτὸν καὶ διατρίβειν ἐν τῷ Ἑλικῶνι, ὃν καὶ αἱ μοῦσαι πρῶται τοξείαν ὑπέθεντο, πρῶται ποιησάμεναι τὸ ἀγγείων ἔχειν ἐποίησαν, καθάπερ φησὶ Σωσίθεος. συμμίσγοντα δὲ ταῖς μούσαις, καὶ ἀκούοντα αὐτῶν ἐπισημασίας, ἐπαινεῖσθαι κρότου ποιοῦντα· τὸ γὰρ τ̃ φωνῆς ἀσαφὲς λῦσαι πρῶτον ἑνὸς κρότου σημαινόμενον, ὅθεν ὁρῶντες τοῦτον, καὶ οἱ ἄλλοι ἐπραττον τὸ αὐτό. διόπερ αἱ μοῦσαι δόξης τυχοῦσαι τῇ τότε βουλήσει, ἠξίωσαν τὸν Δία ἐπιφανῆ αὐτὸν ποιῆσαι ὅσον ὄνομα, ὃ ἔτους συνοίκοις ἀστροις ἐτέθη τῇ τ̃ χειρὸς χρήσει, πρῶτον τοξείαν παραλαβὼν σύστημα. συνῆν δὲ ταῖς ἀνθρώποις ἔμεινεν ἡ σκέψις πρᾶξις, ὃ ἐστι καὶ πολίτου αὐτοῦ μαρτύριον, ὅτι πᾶσιν ἔσται σαφὴς, ὁ μόνον τοῖς συνέρσῃ, ἀλλὰ καὶ τοῖς συπελάγει, διόπερ οἱ γράφοντες αὐτὸν κένταυρον, διαμαρτάνουσιν. ἔχει δ' ἀστέρας ἐπὶ τ̃ κεφαλῆς β'. ἐπὶ τοῦ τόξου β'. ἐπὶ τ̃ ἀκίδος β'. ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α'. ἄκρας χειρὸς α'. ἐπὶ τ̃ λαιᾶς λαμπρὸν α'. ῥάχεως δ'. κέρκου α'. ἐμπροσθίου γόνατος α'. ὠμῆς α'. τοὺς πάντας κδ'. τοὺς δὲ λοιποὺς ζ'. ἀστέρας ὑπὸ τὸ σκέλος· ὀμβροι δέ εἰσι τ̃ ὀπαδῶν μὴ δεικνυμένων ὅλων φανερῶν.

Τόξον.

Τοῦτο τὸ βέλος ἐστὶ τοξικὸν, ὃ φασιν εἶναι Ἀπόλλωνα, ὅτε δὴ τοὺς Κύκλωπας τοῦ Διὸς κεραυνὸν ἐργασαμένους, ἀπέκτεινε δὶ Ἀσκληπιόν· ἔκρυ-

ψε

ψε δὲ αὐτὸ ἐν ὑπερβορείοις, ἔνθ' ὁ ναὸς ὁ πύθιος. λέγεται δὲ ποτὲ ἀπεπνεύχθαι, ὅτε τὸν φόνον αὐτοῦ ὁ Ζεὺς ἀπέλυσε, καὶ ἐπαύσατο τῆς παρὰ Ἀδμήτῳ λατρείας, περὶ ἧς λέγει Εὐριπίδης ἐν τῇ Ἀλκήστιδι. δοκεῖ δὲ τότε ἀναχωρῆσαι ὁ ὄϊστὸς μετὰ τῆς καρποφόρου Δήμητρος ἀφ' τῆς Ἄρεος. λύρα δὲ ὑπερμεγέθης, ὡς Ἡρακλείδης ὁ Ποντικός φησιν ἐν τῷ περὶ δημοσικῆς, ὅθεν εἰς τὰ ἄστρα τέθεικε τὸ βέλος ὁ Ἀπόλλων, εἰς ὑπόμνημα τῶν ἑαυτοῦ μάχης καταστερίσας. ἔχει δὲ ἀστέρας δ'. ἐπὶ τῆς ἄκρας α'. κατὰ τὸ μέσον ἁρμονίαν α'. ἐπὶ τῆς χηλώματος β'. δύσημάτιος δέ ἐστιν ὁ εἷς. οἱ πάντες δ'.

Αετός.

Οὗτός ἐστιν ὁ Γανυμήδους ἀνακομίσας εἰς οὐρανὸν τῷ Διΐ, ὅπως ἔχῃ οἰνοχόον· ἐστὶ δὲ ἐν τοῖς ἄστροις, διόσον καὶ ποτέρου, ὅτε οἱ θεοὶ τὰ πλοῖα διεμερίζοντο, τοῦτον ἔλαχεν ὁ Ζεύς. μόνον δὲ τῶν ζώων ἀνηλίου ἵσταται τῆς ἀκτῖνι ὑπαετιέρμενον, ἔχει δὲ τὴν ἡγεμονίαν ἁπάντων. ἐκπεμφθεὶς δὲ ἀφ' ἑσπερίδων τοὺς πέρυγας, ὡς ἂν καταπτάμενος. Ἀγλαοθένης δέ φησιν ἐν τοῖς Ναξιακοῖς γενόμενον τὸν Δία ἐν Κρήτῃ, καὶ καθ' ὁρᾶσθαι ζητούμενον, ἐκεῖθεν ἐκλαπῆναι καὶ ἀχθῆναι εἰς Νάξον· ἐκτραφέντα δὲ ἐν γενόμενον ἐν ἡλικίᾳ, τὴν τῶν θεῶν βασιλείαν καταλαβεῖν· ἐξορμῶντος δὲ ἐκ Νάξου ἐπὶ τοὺς Τιτᾶνας, καὶ ἀετὸν αὐτῷ φανῆναι συμπολεμοῦντα· τὸν δὲ οἰωνισάμενον, ἱερὸν αὐτὸν ποιήσασθαι καταστερισμόν, καὶ ἀφ' οὗτος τὸν ἐν οὐρανῷ τιμῆς ἀξιωθῆναι. ἔχει δὲ ἀστέρας δ'. ὧν ὁ μέσος ἐστὶ λαμπρός.

Δελφίν.

Οὗτος ἐν τοῖς ἄστροις λέγεται γενέσθαι δι' αἰτίαν τοιαύτην· τὸν Ποσειδῶνος ἐρασθέντα τῆς Ἀμφιτρίτης λαθεῖν εἰς γυναῖκα, δυλαβηθεῖσα ἐκείνη ἔφυγε πρὸς τὸν Ἄτλαντα, ἀπατήσαντα τὴν παρθενίαν ἀποδύσασα. ὡς δὲ καὶ αἱ πλεῖσται Νηρηίδες ἐκρύπτουσα κεκρυμμένης ἐκείνης, πέμψας ὁ Ποσειδῶν ἐξέπεμψε μνηστῆρας, ἐν οἷς καὶ τὸν Δελφῖνα· πλανωμένου δὲ κατὰ τὰς νήσους τὸν Ἄτλαντος, φθάσαντα αὐτὴν πρὸς αὐτὸν ἐξαγγέλλει καὶ ἄγει πρὸς Ποσειδῶνα. ὁ δὲ χάριτας αὐτῷ, μεγίστας τιμὰς ἐν τῇ θαλάσσῃ αὐτῷ ὥρισεν, ἱερὸν αὐτὸν ὀνομάσας εἶναι, καὶ εἰς τὰ ἄστρα αὐτὸν σύσημα ἔθηκεν. ὅσοι δ' ἂν αὐτῷ τῷ Ποσειδῶνι χαρίσασθαι θέλωσιν, ἐν τῇ χειρὶ ποιοῦσιν ἔχοντα τὸν δελφῖνα, τὸν δύσεργείας μεγίστου δόξαν αὐτῷ ἀπονέμοντες. λέγει δὲ περὶ αὐτοῦ καὶ Ἀρτεμίδωρος ἐν τοῖς Ἐλεγείαις τοῖς περὶ ἔρωτος αὐτῷ πεποιημέναις βίβλοις. ἔχει δ' ἀστέρας ἐπὶ τοῦ σώματος α'. ἐπὶ τῆς λοφίας δ'. ἐπὶ τοῦ στόματος τῇ κοιλίᾳ πλερύγων γ'. νωτιαῖον α'. οὐρᾶς δ'. τοὺς πάντας ιθ'. λέγεται δὲ ὁ φιλόμουσον εἶναι τὸ ζῶον, ἀφ' τὸ ἀπὸ τῶν μουσῶν τὴν ἀρίστην ἔχειν τῶν ἀστέρων.

Ωρίων.

Τοῦτον Ἡσίοδός φησιν Εὐρυάλης τοῦ Μίνωος, καὶ Ποσειδῶνος εἶναι· δοθῆναι δὲ αὐτῷ δωρεάν, ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι, καθάπερ

ἐπὶ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

ἐπὶ τ γῆς. ἐλθόντα δὲ αὐτὸν εἰς Χίον, Μερόπιω τιὼ Οἰνοπίωνος διάπαλ οἰνωθέντα· γνόντα δὲ τ Οἰνοπίωνα, ς χαλεπῶς ἐνεγκόντα τιὼ ὕβριν, ἐκτυφλῶσαι αὐτὸν, καὶ ἐκ τ χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον, ἀλιτρύοντα Ηφαίστῳ συμμίξαι· ὃς αὐτὸν ἐλεήσας, δίδωσιν αὐτῷ Ηνδαλίωνα τ αὐτοῦ οἰκεῖον οἰκέτην, ὅπως ὁδηγῇ καὶ ἡγῆται αὐτῷ· ὃν λαβὼν, ἐπὶ τ ὤμων ἔφερε, σημαίνοντα τὰς ὁδούς. ἐλθὼν δ' ἐπὶ τὰς ἀνατολὰς, καὶ ἡλίῳ συμμίξας, δοκεῖ ὑγιωθῆναι, ς ἔτως ἐπὶ τ Οἰνοπίωνα ἐλθεῖν πάλιν, ἡμωρείαν αὐτῷ ἐπιθήσων, ὁ δὲ ὑπὸ τ πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τιὼ ἐκείνου ζήτησιν ἀπῆλθεν εἰς Κρήτην, ς θεὶς τὰς θήρας διῆγε κυνηγετῶν, τ Αρτέμιδος παρέσης καὶ τῆς Λητοῦς· καὶ δοκεῖ ἀπειλήσαι ὡς πᾶν θηρίον ἀνελεῖ τ ἐπὶ τ γῆς γινομένων· θυμωθεῖσα δὲ αὐτῷ Γῆ, ἀνῆκε σκορπίον ἐκμεγέθη, ὑφ' ἑ τῷ κέντρῳ τηλικοῦτος ἀπώλετο· ὅθεν Διὸς τὴν αὐτοῦ ἀνδρείαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεύς, ὑπὸ Αρτέμιδος καὶ Λητοῦς ἀξιωθείς· ὁμοίως καὶ τὸ θηρίον, τοῦ εἶναι μνημόσυνον καὶ τῆς πράξεως. ἄλλοι δέ φασιν αὐξηθέντα τοῦτον ἐρασθῆναι τῆς Αρτέμιδος, τιὼ δὲ σκορπίον ἀνενεγκεῖν κατ' αὐτοῦ, ὑφ' ἑ κρατθέντα ἀποθανεῖν. τὸν δὲ θεὸν ἐλεήσαντα αὐτὸν ἐν ὁρανῷ καταστερίσαι, καὶ τὸ θηρίον εἰς μνημόσυνον τῆς πράξεως. ἔχει δ' ἀστέρας ἐπὶ μὲ τῆς κεφαλῆς γ'. ἀμαυρούς· ἐφ' ἑκατέρῳ ὤμῳ λαμπρὸν α'. ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α'. ἐπ' ἄκρας χειρὸς α'. ἐπὶ τῆς ζώνης γ'. ἐπὶ τοῦ ἐγχειριδίου γ'. ἀμαυροὺς, ἐφ' ἑκατέρῳ γόνατι λαμπρὸν α'. ἐφ' ἑκατέρῳ ποδὶ ὁμοίως λαμπρὸν α'. (τοὺς πάντας ιζ'.)

Κύων.

ΠΕρὶ τούτου ἱστοροῦσιν, ὅτι ἐστὶν ὁ δοθεὶς Εὐρώπῃ Φύλακι μετὰ τοῦ δράκοντος· ἀμφότερα δὲ παῖδα Μίνωος ἔλαβε· καὶ ὕστερον ὑπὸ Πρόκριδος ὑπατευθεὶς ἐν νόσῳ, ἐδωρήσατο αὐτῇ. μεταὶ δὲ χρόνον Κέφαλος ἀμφοτέρων αὐτῶν ἐκράτησε διὰ τ εἶναι Πρόκριδος ἄνδρα. ἦλθε δὲ εἰς τὰς Θήβας ἐπὶ τὴν ἀλώπεκα ἄγων αὐτὴν, εἰς ἣν λόγιον ἦν ὑπὸ μηδενὸς ἁλῶναι· ἐκ ἔχων ἔν ὅ, τι ποιήσῃ ὁ Ζεύς, τὴν μὲ ἀπελίθωσε, τ δὲ εἰς τὰ ἄστρα ἀνήγαγεν ἄξιον κρίνας. ἕτεροι δέ φασιν αὐτὸν εἶναι κύνα Ωρίωνος, ς θεὶς τὰς θήρας γινομένῳ σωτῆρος, καθάπερ καὶ τοῖς κυνηγετοῦσι πᾶσι τὸ ζῶον σωτηριῶδες δοκεῖ πρὸς θηρίαν· ἀναχθῆναι δὲ αὐτὸν εἰς τὰ ἄστρα, καθὰ τὴν τ Ωρίωνος ἀναγωγὴν, ς τούτου εἰκότως γεγονότος, διὰ τὸ μηδὲν ἀπολείπειν τ συμβεβηκότων Ωρίωνι. ἔχει δ' ἀστέρας, ἐπὶ μὲ τ κεφαλῆς (α'. δὲ ἴσως λέγεται) τ γλώττης α'. ὃν καὶ στόμιον καλοῦσι· μέγας δ' ἐστὶ ς λαμπρός· τοὺς δὲ ῥυτῆρας ἀστέρας οἱ ἀστρολόγοι σφεῖς καλοῦσι, διὰ τὴν τῆς φλογὸς κίνησιν· ἐφ' ἑκατέρῳ ὤμῳ α'. ἀμαυρὸν, σήτας δ'. (τῆς ῥάχεως δ'.) ἐμπροσθίου ποδὸς γ'. καὶ λίας δ'. ἐπὶ τοῦ ἀριστεροῦ ἰσχίου α'. ἄκρῳ ποδὶ α'. ἐπὶ δεξιοῦ ποδὸς α'. κέρκου δ'. τοὺς πάντας (κ'.)

Λαγωός.

ΟΥτός ἐστιν ἐν τῇ καλουμένῃ κυνηγίᾳ εὑρεθείς, διὰ δὲ τὴν ζωγρίαν τοῦ ζῴου, ὁ Ερμῆς δοκεῖ θεῖναι αὐτὸν ἐν τοῖς ἄστροις· μόνον δὲ τ τετραπόδων δοκεῖ κύειν τελείους, ὧν καὶ μὲ κύει, καὶ δ' ἔχει ἐν τῇ κοιλίᾳ,

Digitized by INTERNET ARCHIVE Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j Public Domain / http://www.hathitrust.org/access_use#pd

λία, καθάπερ Αριστοτέλης ὁ Φιλόσοφος λέγει ἐν τῇ περὶ τῶν ζώων πραγματείᾳ. ἔχει δ' ἀστέρας ἐφ' ἑκατέρων ὠτίων α'. ἐπὶ τοῦ στόματος γ'. ὧν ὁ ἐπὶ τῆς ῥάχεως λαμπρότερος· ἐφ' ἑκατέρων ὀπισθίων ποδῶν α'. (τὸς πάντας ζ'.)

Αργώ.

Αὕτη μετὰ τὴν Αθηνᾶν ἐν τοῖς ἄστροις εἰσήχθη· πρώτη γὰρ αὕτη ναῦς κατεσκευάσθη, καὶ ἀρχὴν ἐτέκτηνήθη· φωνήεσσα δὲ γενομένη, πρώτη τὸ πέλαγος διεῖλεν ἄβατον ὄν, ἵν' ᾖ τοῖς ἐπιγινομένοις παράδειγμα σαφέστερον. εἰς δὲ τὰ ἄστρα ὑπετέθη τὸ εἴδωλον ἐκ ὅλον αὐτῆς, οἱ δ' οἰακές εἰσιν ἕως τοῦ ἰσθμοῦ τοῖς πηδαλίοις, ὅπως ὁρῶντες οἱ τῇ ναυπλίᾳ χρώμενοι, θαρρῶσιν ἐπὶ τῇ ἐργασίᾳ, αὐτῆς τε ἡ δόξα ἀγήρατος μεμενίνη ὅσης ἐν τοῖς θεοῖς. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς πρύμνης δ'. ἐφ' ἑνὶ πηδαλίῳ ε'. καὶ τῷ ἑτέρῳ δ'. τολίδος ἄκρας γ'. καταστρώματι ε'. ὑπὸ τρόπων ς'. περιαστηρισμὸς ἀλλήλοις. (τὸς πάντας κζ'.)

Κῆτος.

Τοῦτό ἐστιν ὃ Ποσειδῶν ἔπεμψε Κηφεῖ, μετὰ τὴ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους τοῖς Νηρηίσι· Περσεὺς δ' αὐτὸ ἀνεῖλε, καὶ μετὰ τοῦτο εἰς τὰ ἄστρα ἐτέθη ὑπόμνημα τῆς πράξεως αὐτοῦ· ἱστορεῖ δὲ ταῦτα Σοφοκλῆς ὁ τῆς τραγῳδίων ποιητὴς ἐν τῇ Ανδρομέδᾳ. ἔχει δ' ἀστέρας ἐπὶ τοῦ ἐρεμαίου β'. ἀμαυροὺς, ἀπὸ δὲ τῆς ἑρπῆς τοῦ κυρτώματος ὑπὸ τοῦ κενεῶνος ε'. ὑπὸ τὴν κοιλίαν ς'. τὸς πάντας ιγ'.

Ηριδανός.

Οὗτος ἐκ τῆς ποδὸς τοῦ Ωρίωνος τοῦ ἀριστεροῦ τοῦ ἀρχικυνὸς ἔχει· καλεῖται δὲ κατὰ μέν τινας Αρατον ἠριδανός, ἐδεμίαν δὲ ἀπόδειξιν περὶ αὐτοῦ φέρει. ἕτεροι δέ φασιν δικαιόσαντα αὐτὸν εἶναι Νεῖλον, μήνος γὰρ ὕστερος ἀπὸ μεσημβρίας τὰς ἀρχὰς ἔχει, πολλοῖς δὲ ἄστροις συγκεκόσμηται· ὑπόκειται δὲ αὐτῷ καὶ ὁ καλούμενος ἀστὴρ κάνωβος, ὃς ἐγγίζει τῷ πηδαλίῳ τοῦ ἀργοῦς· τοῦτο δὲ ὀδὲν ἄστρον καθότερον φαίνεται, διὸ καὶ περίγειος καλεῖται. ἔχει δ' ἀστέρας ἐπὶ τοῦ κεφαλῆς α'. ἐπὶ τῇ πρώτῃ καμπῇ γ'. ἐπὶ τῇ δευτέρᾳ γ'. ἐπὶ τοῦ τρίτης ἕως τοῦ ἑκάτων ζ'. ὕς φασιν εἶναι τὰ στόματα τοῦ νείλου. τὸς πάντας ιδ'.

Ιχθύς.

Οὗτός ἐστιν ὁ μέγας καλούμενος ἰχθὺς, ὃν καὶ πιεῖν λέγουσι τὸ ὕδωρ τοῦ ὑδροχόου ἐκχύσεως. ἱστορεῖται δὲ περὶ τούτου, ὡς φησι Κτησίας, εἶναι περὶ τὸν λίμνην πινὶ καλουμένῃ Βαμβύκην· ἐμπεσούσης δὲ τῆς Δερκετοῦς νυκτὸς, (σῶσαι αὐτὴν) οἱ περὶ τὸς τόπους οἰκοῦντες Συρίας θεὸν ἀνόμασαν. τούτου καὶ τὸς β'. φασιν ἰχθύας ἐκγόνους εἶναι, ὃς πάντας ἐτίμησαν καὶ ἐν τοῖς ἄστροις ἔθηκαν. ἔχει δ' ἀστέρας ιβ'. ὧν τὸς ἐπὶ τοῦ ῥύγχους λαμπροὺς γ'.

Νέκταρ

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Νίκαρ.

Τοῦτό ἐστιν ὦ πρῶτον οἱ θεοὶ τῶν συμμαχίαν ἔθεντο, ὅτε ἐπὶ Κρόνον ὁ Ζεὺς ἐστράτευσεν· ἐπιτυχόντες δὲ τῆς πράξεως, ἔθηκαν καὶ αὐτὸ ἐν τῷ ἐρανῷ εἰς μνημόσυνον, ὃ δὲ εἰς τὰ συμπόσια οἱ ἄνθρωποι φέρουσι καὶ θύουσιν, οἱ κοινωνεῖν ἀλλήλοις εὐθαρσέμμοι δὲ ὀμνύειν, δὲ τῇ χειρὶ ἐφάπτουσι τῇ δεξιᾷ, μαρτύριον εὐγνωμοσύνης τοῦτο ἡγέμμοι. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς ἐχαρείου δ'. ἐπὶ τῆς βάσεως β'. τοὺς πάντας δ'.

Χείρων.

Οὗτος δοκεῖ Χείρων εἶναι, ὁ ἐν τῷ Πηλίῳ οἰκήσας, δικαιοσύνῃ δὲ ὑπερενέγκας πάντας ἀνθρώπους, καὶ παιδεύσας Ασκληπιόν τε καὶ Αχιλέα· ἐφ' ὃν Ηρακλῆς δοκεῖ ἐλθεῖν δι' ἔρωτα, ὡς καὶ σωθεῖναι ἐν τῷ ἄντρῳ, πλὴν τῆς πάνα· μόνον δὲ τὸν κένταυρον οὐκ ἀνεῖλεν, ἀλλ' ἤκουεν αὐτὸς, καθάπερ Αντισθένης φησὶν ὁ σωκρατικὸς ἐν τῷ Ηρακλεῖ· χρόνον δὲ ἱκανὸν ὁμιλούντων αὐτῶν ἐπὶ τῆς φαρέτρας αὐτοῦ βέλος ἐξέπεσεν εἰς τὸν πόδα τοῦ Χείρωνος, ὃ ἔτως ἀποθανόντος αὐτοῦ, ὁ Ζεὺς διὰ τὴν εὐσέβειαν καὶ τὸ σύμπλωμα ἐν τοῖς ἄστροις ἔθηκεν αὐτόν. ἔστι δὲ τὸ θηρίον ἐν ταῖς χερσὶ τοῦ ἡνιοχείου, ὃ δοκεῖ ποιῆσαι φέρον ὗσιν, ὅ ἐστι μέγιστον σημεῖον τῆς εὐσεβείας αὐτοῦ. ἔχει δὲ ἀστέρας ὑπεράνω τῆς κεφαλῆς ἀμαυροὺς γ'. ἐφ' ἑκατέρων τῶν ὤμων λαμπροὺς α'. ἀριστερᾶ ἀγκῶνος α'. ἄκρας χηλοῦς α'. ἐπὶ μέσου τοῦ ἰσοπλεύρου τρίγωνος α'. ἐφ' ἑκατέρων τῶν ἐμποσθίων ὁπλῶν α'. ῥάχεως δ'. κοιλίας β'. λαμπροὺς, κέρκος γ'. ἐπὶ τῶν ἰσοπλεύρου ἰσχίου α'. λαμπρὸν, ἐφ' ἑκατέρων τῶν ὀπισθίων γονάτων α'. ἐφ' ἑκατέρας ὁπλῆς α'. τοὺς πάντας κδ'. ἔχει δὲ ἐν τοῖς χερσὶ τὸ λεγόμμον θηρίον, ὃ ποιοῦσι τὸ χῆμα τεπλωμμον. τινες δὲ ἀσκὸν φασιν αὐτὸ εἶναι οἴνου, ἐξ οὗ ἀπένδει τοῖς θεοῖς ἐπὶ τὸ θυτήριον, ἔχει δὲ αὐτὸ ἐν τῇ δεξιᾷ χειρὶ, ἐν δὲ τῇ ἀριστερᾷ θύρσον· ἔχει δὲ ἀστέρας τὸ θηρίον ἐπὶ τῆς κέρκος β'. ἐπ' ἄκρου τοῦ ὀπισθίου ποδὸς λαμπρὸν α'. καὶ ἐπὶ τοῦ ἐμπροσθίου ποδὸς α'. λαμπρόν, ἐὺπ' αὐτὸν α'. ἐπὶ τῆς κεφαλῆς γ'. τοὺς πάντας η'.

Κόραξ.

Τοῦτο τὸ ἄστρον κοινόν ἐστι ἀπὸ πράξεως γεγονὸς ἐναργῆς, ἣν ἔχει ὁ κόραξ παρὰ τῷ Απόλλωνι, ἑκάστῳ γὰρ τῶν θεῶν ὄρνεόν ἐστιν ἀνακείμμον. θυσίας δὲ νομιζούσης τοῖς θεοῖς, στοναχῇ πεμφθεὶς ἐνέγκαι ἀπὸ κρήνης τινὸς, ἰδὼν παρὰ τῇ κρήνῃ συκῆν ὀλίνθους ἔχουσαν, ἔμεινεν ἕως πεπανθῶσιν. μετ' ἱκανὰς δὲ ἡμέρας πεπανθέντων τούτων καὶ φαγὼν τῶν συκῶν, αἰθόμμῳ τὸ ἁμάρτημα, ἐξαρπάσας τὸν ἐν τῇ κρήνῃ ὕδρον, ἔφερε σὺν τῷ κρατῆρι· φασὶν αὐτὸν συπίνειν καθ' ἡμέραν τὸ γινόμμον ἐν τῇ κρήνῃ ὕδωρ. ὁ δὲ Απόλλων ἐπιγνοὺς τὸ γεγόμμα, τῷ μὲν κόρακι ἐν τοῖς ἀνθρώποις ἐπιλιμῶν ἔθηκεν ἱκανὸν τοῦτον τὸν χρόνον διψᾶν (καθάπερ Αριστοτέλης εἴρηκεν ἐν τοῖς περὶ ζῴων) μνημόνυμα δώσας τῆς εἰς θεὸς ἁμαρτίας· σαφὲς εἰκονίσας ἐν τοῖς ἄστροις ἔθηκεν εἶναι τόν τε ὕδρον, καὶ μὴ δυνάμμον πιεῖν καὶ μὴ φθάσαντα εἰπεῖν· ἔχουσι δὲ ἀστέρας, ὁ μὲν ὕδρος ἐπ' ἄκρας τῆς κεφαλῆς γ'. λαμπροὺς, ἐπὶ τῆς πρώτης καμπῆς ς'. λαμπρὸν δὲ α'. τὸν ἕκατον· ἐπὶ τῆς

δευτέρας

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

δευτέρας καμπῆς γ'. ἐπὶ τῆς τρίτης λ'. ἐπὶ τ τετάρτης β'. ἀπὸ τῆς ε'. καμπῆς μέχρι τῆς κέρκυ ϑ'. ἀμαυρὸς, τὰς πάντας κζ'. ἔστι δὲ καὶ ἐπὶ τῆς κέρκυ ὁ κήρυξ βλέπων εἰς δυσμάς. ἔχει λ' ἀστέρας ἐπὶ τ ῥύγχους ἀμαυρὸν α'. ἐπὶ τ πτέρυγος β'. ἐπὶ τ ὀρθοπυγίου β'. ἐφ' ἑκατέρων ποδῶν ἄκρων α'. τὰς πάντας ζ. τοῦτο δὲ ἱκανὸν ἀπέχων ἀπὸ τῆς καμπῆς ὁ κρατὴρ, κεῖται ἐγκεκλιμένος πρὸς τὰ γόνατα τ παρθένου. ἔχει δὲ ἀστέρας ὁ κρατὴρ ἐπὶ τ χείλους β'. ἀμαυρὸς, ἐπὶ τὸ μέσον β'. καὶ παρὰ τὸ στόμιον β'. τὰς πάντας ς'.

Πρόκυων.

Αὐτός ἐστιν ὁ πρὸ τ μεγάλου κυνὸς, προκύων δὲ λέγεται ὡς πρὸ τ κυνός, Ωρίωνος δὲ κύων ἐστι· λέγεται δὲ διὰ τὸ φιλοκυνήγην αὐτὸν εἶναι, ἀνατεθεῖσαι τοῦτον αὐτῷ· καὶ γὰρ λαγωὸς ἐχόμενος καὶ ἄλλα θηρία παρ' αὐτὸν στοιχεῖται· ἔχει δὲ ἀστέρας γ'. ὧν εἷς ὁ πρῶτος ἀνατέλλει λαμπρὸς, καὶ ποιεῖ ὁμοιότητα τοῦ κυνὸς, διὸ καὶ προκύων καλεῖται, ὁ πρῶτος ἀνατέλλει καὶ δευτέρα σκεῖνα, τὰ δὲ μεταξὺ τούτων ἄστρα γίνεται ἐν τῷ ζωδιακῷ κύκλῳ, ὃν ὁ ἥλιος διαπορεύεται ἐν ιβ'. μησὶν, διόπερ καὶ τὰ ζώδια τοῦτο ἰσάριθμα ἐστίν.

Πέντε Ἀστέρες.

Περὶ τ πέντε ἀστέρων τ καλουμένων πλανητῶν, διὰ τὸ κίνησιν ἔχειν ἰδίαν αὐτοῖς, λέγονται δὲ θεοὶ εἶναι πέντε· πρῶτον μὲν Διὸς φαίνοντα μέγαν, ὁ δεύτερος σκληρὸς μὲν φαίνεται ὢν μέγας, ἔστι δὲ ὠνομάσθη ἀπὸ τ ἡλίου· ὁ δὲ τρίτος Ἄρεως, πυροειδὴς δὲ καλεῖται, ὢν μέγας τῷ χρώματι, ὁμοίως δὲ ἐν τῷ αἰτῷ· ὁ δὲ τέταρτος φωσφόρος Ἀφροδίτης, λευκὸς τῷ χρώματι, πάντων δὲ μέγιστός ἐστι τούτων τ ἄστρων, ὃν καὶ ἑωσφόρον καὶ φωσφόρον καλοῦσι· πέμπτος δὲ Ἑρμοῦ στίλβων, λαμπρὸς καὶ μικρός· τῷ δὲ Ἑρμῇ ἐδόθη διὰ τὸ πρῶτον αὐτὸν διάνοιαν ὀρίσαι τ οὐρανοῦ, καὶ τ ἄστρων τὰς τάξεις καὶ τὰς ὥρας μετρῆσαι, καὶ ἐπιστημασιῶν καιρὸς δεῖξαι· στίλβων δὲ καλεῖται, διὰ τὸ φαντασίαν τοιαύτην αὐτὸν ποιεῖν.

Κύκλος Γαλαξίας.

Οὗτος γίνεται ἐν τοῖς φανερωτάτοις κύκλοις, ὃν πρωτογραφεῖσθαί φασι γαλαξίαν· ὁ γὰρ ἐξιὼν τοῖς Διὸς ἱεροῖς τ οὐρανίοις τιμῆς μεταλαχεῖν, εἰ μή τις αὐτῶν ζηλάσειε τ τῆς Ἥρας μαστόν. διόπερ φασὶ τ Ἑρμοῦ ὑποπτεύσαντος ἀναπεμπόμενον τ Ἡρακλέα, καὶ προσέχειν αὐτὸν τῷ τῆς Ἥρας μαστῷ, τ δὲ ζηλάζειν· ἐπινοήσασαν δὲ Ἥραν, ἀποσείσασθαι αὐτὸν, καὶ ἅτε ἐκπεπτωκότος τοῦ προσώπου, ἀποπλεσθῆναι τ γαλαξίαν κύκλον.

Annotationes:

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY
Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Annotationes.

Ursa Major.

Δοξω] Vocem hanc à librario perperam additam crederem, sed quia sensus aliquatenus consistit, nihil muto. Fabulam hanc *Pausanias* in Arcadicis aliter narrat, scil. τῇ Καλλισοῖ συνεγένετο ἐναθεὶς Ζεὺς, Ηρα ὃ ἐφώρασεν καὶ ἐποίησεν ἄρκτον τὴν Καλλισώ, Αρτεμις ὃ ἐς χάριν τῆς Ηρας κατετόξευσεν αὐτήν. καὶ ὁ Ζεὺς Ερμῆν πέμπει σῶσαι τὸ παιδίον οἱ Θεσπάξας, ὃν ἐν τῇ μαστῷ εἶχεν ἡ Καλλισώ. Καλλισὼ ὃ αὐτὴν ἐποίησεν ἀστέρα καλεμένην Αρκτον μεγάλην. Observare porro licebit in numerorum supputatione, convenire *Eratosthenem*, & *Germanicum*, licet in singulis stellis recensendis discrepent, scil. in *Eratosthenis* Exemplari duæ stellæ in priore pede omissæ sunt, quas restituimus; verba autem ex latinis addita uncis inclusimus: quod diligenter à me factum quando ab exemplari recesserim, quod hic semel monendum duxi. *Hyginus* stellas tantum 21. agnoscit, qui pro αἰπόλων videtur legisse Αἰτωλῶν, sed *Germanicus* nostram lectionem tuetur.

Ursa Minor.

In MS. legebatur *Agasthenes*, nos *Aglaosthenem* reposuimus. Minor Arctos, *Helice* olim vocabatur: *Thales* autem Milesius primus nomenclaturam immutavit, de quâ re *Callimachus*.

Καὶ τῆς ἁμάξης ἐλέγετο σαθμήσασθαι
Τὰς ἀστερίσκους ἢ πλέασι Φοίνικες.

Histo portum disertis verbis *Germanicus* in Creta ponit quod fabulæ quidem accommodum, sed *Strabo* non alibi quam in *Icariâ* insula agnoscit. Stellæ duæ quæ polo proximo χορεῦται vocantur, *Germanicus* appellat ludentes; in numeris apud omnes convenit.

Dra-

Digitized by INTERNET ARCHIVE
Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

Draco.

Φερεκύδης] Sc. in Thegoniâ. Is primus dicitur qui prosâ oratione libros contexuit. *Hyginus* ait nonnullos dicere hunc Draconem à Gigantibus *Minervæ* objectum eſſe, cum eos oppugnaret: *Minervam* autem arreptum Draconem contortum ad ſidera jeciſſe, & ad ipſum Axem cœli fixiſſe. In numeris ſtellarum prorſus convenit.

Engonaſi.

Πανύασις] Heracleas ſcripſit, & aſteriſmum hunc *Herculi* tribuit cum Dracone decertanti. *Hyginus Cetea Lycaonis* filium vult, aut *Theſea*, *Thamyrin*, *Orphea*, *Prometheum*, aut etiam *Herculem* cum Liguribus pugnantem. Stellas *Eratoſthenes* & *Hyginus* numerant 19. *Germanicus* duas ſuperaddit; ſiquidem enim *Eratoſt.* dixerat in utroque latere duas eſſe ſtellas, è *quibus* clarior illa quæ ad ſiniſtram; tertiam *Germanicus* reponit in ſiniſtrâ. Sic etiam cum ſtella, quæ clavam exhibet, pedis loco ſtatuitur, alteram pedi donat: demum & in ſupputatione ab ipſo erratum.

Corona.

Δίᾳ] M S. ἴδᾳ, ſed noſtra ſunt potiora; nuptiæ enim *Ariadnes* in Dia inſulâ, quæ una *Cycladum*, dicuntur celebratæ. Tertiam fabellam addit *Hyginus*, dicitque Coronam *Baccho* fuiſſe à *Venere* donatam, quam in loco qui *Stephanus* dicitur reliquit, quando ad inferos deſcendit ad repetendam matrem; addit & quartam, ſc. fuiſſe *Theſei* ex munere *Thetidis*. In numeris convenit.

Anguitenens.

M S. legit εἰς τὰ ὅπλα, rectius certe εἰς τὰ ἄκρα. Fulmina quidem *Jovis* arma, quibus *Æſculapius*, quem hic repræſentari ait *Eratoſt.* oppreſſus fuerat; ſed duriuſculum eſſet ut quis dicat illum cœlo receptum, ad ea arma evectum eſſe. *Hyginus* dicit *Car-*

Digitized by INTERNET ARCHIVE Original from DUKE UNIVERSITY

Generated on 2014-02-21 15:39 GMT / http://hdl.handle.net/2027/dul1.ark:/13960/t6vx16v2j
Public Domain / http://www.hathitrust.org/access_use#pd

nabonta esse Getarum regem, aut *Herculem* in Lydia apud flumen Sagarin anguem interficientem; aut *Triopum* Thessalorum regem, aut *Phorbanta Triopi* filium, aut denique *Glaucum Minois* filium. In numeris apud omnes convenit, nisi quod in Græco ις'. pro ιζ'. malè poneretur.

Scorpius.

Ait *Eratosthenes* eum duo signa possidere; olim siquidem totum Zodiacum Animalia tenebant, & Chelis Scorpii id in solidum tribuebatur, quod libra nunc vendicat. Ut Romæ suæ gratificaretur *Manilius* huic signo eam subjicit l. 4. Astron. dicens,

Hesperiam sua libra tenet, quâ condita Roma,
Et propriis frænat pendentem nutibus orbem.

In numeris omnino convenit.

Arctophylax.

Dicit *Hyginus* ex aliquorum sententia hunc esse Icarum patrem *Erigones*, qui à Libero patre modum serendi vites accepit; virginis vero signum, quod in propinquo est, *Erigonen* referre; quin & septentriones ejus esse Armentum. In hac certe sententiâ erat *Propertius* qui ait, *Flectant Icarii sidera tarda boves.* In numeris convenit.

Virgo.

